# ΜΙΧΑΗΛ ΑΠΟΣΤΟΛΗ, ΑΝΕΚΔΟΤΑ ΕΠΙΓΡΑΜΜΑΤΑ

Ἐκδίδω κατωτέρω ἐκ τοῦ κώδικος Parisinus graecus 1744[1] σειρὰν ἐπιγραμμάτων τοῦ Μιχαὴλ Ἀποστόλη εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ εἰς ἁγίους τῆς ὀρθοδόξου ἑλληνικῆς ἐκκλησίας. Τὰ ἐπιγράμματα αὐτὰ εἶναι γεγραμμένα εἰς ἀρχαίαν ποιητικὴν γλῶσσαν καὶ εἰς ἀρχαῖα μέτρα, ἐγράφησαν δέ, καθ' ἃ ὁ ἴδιος ὁ Μιχαὴλ Ἀποστόλης λέγει εἰς τὸν πρόλογον, τῇ προτροπῇ τοῦ καλλίστου ἐκ τῶν φίλων του Ἐμμανουὴλ τοῦ Ἀτραμυττινοῦ εἰς τὸν ὁποῖον καὶ ἀφιεροῦνται.

Ἐμμανουὴλ ὁ Ἀτραμμυτινὸς εἶναι γνωστὸς ἀπὸ ἐπιστολὰς τοῦ Μιχαὴλ Ἀποστόλη καὶ ἀπὸ κωδικογραφικὰ σημειώματα[2]. Εἰς τὴν ἐπιστολὴν 48 ὁ Μιχαὴλ Ἀποστόλης τοῦ διηγεῖται ἐκδρομὴν εἰς ὀρεινὰς περιοχὰς τῆς Κρήτης καὶ τοῦ ἀναγγέλλει τὴν ἀποστολὴν τῶν ἔργων Μάρκου τῆς Ἐφέσου καὶ τοῦ Γενναδίου[3]. Εἰς ἐπιστ. 90 τοῦ διηγεῖται ἄλλην ἐκδρομὴν εἰς Ἱεράπετραν, Ἐλεοῦντα καὶ Ἔμπαρον, περιγράφων ἰδιαιτέρως τὰ ἀρχαιολογικὰ λείψανα εἰς τὰς περιοχὰς αὐτάς[4]. Εἰς τὰς ἐπιστολὰς 106 καὶ 108[5] παραπονεῖται διότι ὁ Ἐμμανουὴλ τὸν ἔχει λησμονήσει καὶ δὲν τοῦ γράφει πλέον, ἡ δὲ ἐπιστολὴ 107 ἀποτελεῖ τὸν πρόλογον τῶν ἐνταῦθα ἐκδιδομένων ἐπιγραμμάτων. Ἀπὸ τὰ κείμενα αὐτὰ προκύπτει ὅτι ὁ Ἐμμανουὴλ ὁ Ἀτραμυττινὸς ἦτο νεώτερος τοῦ Μιχαὴλ Ἀποστόλη, κάτοικος τῆς Κρήτης καὶ Κρής, μαθητεύσας δὲ παρὰ τῷ Μιχαὴλ Ἀποστόλῃ διετήρησεν ἐπὶ ἀρκετὸν χρονικὸν διάστημα ἐγκαρδίους δεσμοὺς μετὰ τοῦ διδασκάλου του. Τελικῶς ὅμως αἱ σχέσεις τῶν δύο αὐτῶν ἀνδρῶν ἐτραχύνθησαν εἰς σημεῖον ὥστε ὁ Μιχαὴλ Ἀποστόλης νὰ γράψῃ βιαιότατον φυλλάδιον ἐναντίον τοῦ πρώην μαθητοῦ καὶ ἀγαπημένου φίλου του, τὸ εἰς British Museum ἀποκείμενον καὶ κατ' ἀποσπάσματα δημοσιευθὲν ἤδη ὑπὸ Noiret «*Μιχαήλου Ἀποστολίου τοῦ Βυζαντίου, λόγος κατὰ Ἐμμανουηλοῖν μιαρωτάτοιν αὐτοῦ φοιτηταῖν, τοῦ μὲν Κρητὸς Ἀτραμυττινοῦ, τοῦ δὲ εἵλωτος, οἷν ὁμοίους τὸ τῆς κινήσεως μέτρον ὁ χρόνος οὐκ*

---

[1] H. Omont, Inventaire sommaire des manuscrits grecs, II, Paris 1888, 134.

[2] Εἰς Palatinus græcus 115 καὶ Parisinus græcus 1761, πιθανῶς δὲ καὶ εἰς Palatini græci 139, 149, 156. Πρβλ. Noiret, κατωτέρω.

[3] Legrand II, 258.

[4] Noiret, Lettres inédits de Michel Apostolis, Paris 1889, 110.

[5] Noiret, 125 καὶ 126.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*ἐπεῖδεν εἴγε ἡμᾶς»* [1]. Κατὰ τὰς ἐρεύνας τοῦ Noiret αἱ πνευματικαὶ σχέσεις Μιχαὴλ Ἀποστόλη καὶ Ἐμμανουὴλ τοῦ Ἀτραμυττινοῦ δέον νὰ ἀναχθῶσιν εἰς τὴν ἐποχὴν τῶν ἐτῶν 1468 - 1473. Κατ' αὐτὴν συνεπῶς τὴν ἐποχὴν δέον νὰ ἔχωσι γραφῆ καὶ τὰ ἐνταῦθα δημοσιευόμενα ἐπιγράμματα.

Τὴν ἔκδοσιν τῶν ἐπιγραμμάτων ἀκολουθεῖ σύντομος ἀνάλυσις τῶν θεματικῶν καὶ γλωσσικῶν στοιχείων τὰ ὁποῖα περιέχουν. Ἐκ τῆς ἀναλύσεως αὐτῆς εἶναι, νομίζω, προφανὲς ὅτι θεματικῶς μὲν τὰ ἐπιγράμματα δὲν παρουσιάζουν ἰδιαίτερον ἐνδιαφέρον, γλωσσικῶς ὅμως εἶναι πολὺ ἀξιόλογα, λόγῳ τοῦ πλουσίου ὑλικοῦ τὸ ὁποῖον ἐγκλείουν.

Κατὰ τὴν ἔκδοσιν τοῦ κειμένου, ἐπειδὴ ὁ κῶδιξ, κατὰ τὸ τμῆμα τὸ περιέχον τὰ ἐπιγράμματα, εἶναι αὐτόγραφος, ἀπέφυγα κάθε παρέμβασιν, πλὴν τῆς μετατροπῆς τῶν δι' ἑλληνικῶν γραμμάτων ἀριθμῶν εἰς τοὺς ἀντιστοίχους ἀραβικοὺς διὰ τὸ εὐχερέστερον.

Πρὸ ἐμοῦ τὸν κώδικα εἶχε μελετήσει ὁ Émile Legrand, ὅστις καὶ ἐδημοσίευσε τὸν πρὸς Ἐμμανουὴλ τὸν Ἀτραμυττινὸν ἀπευθυνόμενον πρόλογον μετὰ τῶν εἰς «*Ἅγιον Γεώργιον*» καὶ τῶν ἐκτὸς τῆς συλλογῆς εἰς ἁγίους, «*Εἰς Βησσαρίωνα*» καὶ «*Εἰς ἑαυτόν*», ἐπιγραμμάτων [2]. Προσφάτως δὲ ἐδημοσιεύθη ὑπ' ἐμοῦ αὐτοτελῶς εἰς τὰ «Κρητικὰ Χρονικὰ» τὸ εἰς τὴν ὡς ἄνω συλλογὴν περιλαμβανόμενον ἐπίγραμμα εἰς τοὺς Ἁγίους Δέκα Κρήτης [3].

*Parisinus græcus 1744, ff 37 - 57v.*

37 ***Ἀποστολίου τοῦ Βυζαντίου, Στίχοι ἰαμβικοί, ἡρωϊκοὶ καὶ ἡρωοελεγεῖοι εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ εἰς τοὺς ἐλλογίμους τῶν ἁγίων.***

***Ἐμμανουὴλ τῷ Ἀτραμυττινῷ,***

*Χάριτάς σοι νομίζω, Ἐμμανουῆλε καλέ, ὅτι με συμβουλεύων ἐπῆρας ἐν οἷς εἰ καὶ μηδ' ὁπωσοῦν εὖ εἶχον λόγου τε καὶ παιδείας, καθῆκα ἂν ἐμαυτὸν καὶ τυχὸν ἀπεριμερίμνως τοῖς ἐλλογίμοις ἐπιγράμματα ξυνθεῖναι τῶν παλαιῶν καὶ μάλιστα τοῖς μυστηρίοις Χριστοῦ, ὑπὲρ οὗ καὶ ἠνδρίσαντο καὶ ἠγωνίσαντο καὶ ἐνίκησαν καὶ ἐταινιώθησαν· οἵ γε ἄνθρωποι ὄντες καὶ γῆν πατοῦντες, οὐρανοβάμονές τε ἐγένοντο τῇ μελέτῃ τῶν ἀρετῶν καὶ παρὰ πάντας ὑμνήθησαν τοὺς θεούς, οἵ τινῶν ἐπικήρων ἔργων εὑρεταὶ γεγονότες τοσοῦτον Ἕλλησιν ἐτιμήθησαν ὅσον ὕστερον ἡμῖν ἠτιμάσθησαν. Ἐπεὶ δὲ καὶ λόγων ἔχω μετρίως καὶ νόμος οὐχ ὅπως φίλοις καὶ φοιτηταῖς ἀλλὰ καὶ*

---

[1] Noiret, 154 - 164.
[2] Legrand I, LXV καὶ LXVIII - LXIX.
[3] «Κρητικὰ Χρονικὰ» 4, 1950, 102.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

37v *πᾶσιν ἀνθρώποις παρακελεύεται πείθεσθαι ἢ ἂν προσῆκον καὶ | εὔλογον, ὑπεικτέον ἂν εἴη τῷ φοιτητῶν μοι καλλίστῳ καὶ πᾶσι φίλοις ὑπερκειμένῳ ἐν οἷς ἡττηθῆναι νίκης ἄλλων οὐ χεῖρον καὶ τὸ νικῆσαι στεφάνων τῶν ἐν Ὀλυμπίοις πάντων ἐπέκεινα. Ὁποτέρως δ᾽ ἂν γε τὸ πρᾶγμ᾽ ἀποβαίη οὐκ ἄμοιρος ἔσῃ τῆς ἐφ᾽ ἑκάτερα ξυντυχίας, τῶν γὰρ ὁποτέρως ἐξόντων ὁ τὴν αἰτίαν διδοὺς δίκαιος ἂν εἴη καὶ τούτων τοὺς καρποὺς ἀποφέρεσθαι. Ἡμῖν μὲν δὴ σοι ποιητέον ἂν εἴη τοὐπίταγμα οὐχ ὅτι γε τοῦτο, ἀλλὰ καὶ ἄλλο γε ὁτιοῦν, εἰ καὶ πῦρ ἐκείνῳ παρέρρεεν, ὥς φασι, ξυντιθεῖσι μὲν στίχω δύο ἰαμβικὼ καὶ ἕνα μετὰ τούτω ἡρωϊκόν, εἶτ᾽ αὖθις ἡρωοελεγεῖον ἄλλον προστιθεῖσιν ἀφ᾽ ἑαυτῶν, ὡς ἄν τι φανεῖμεν πλέον τι πεποιηκότες τῶν πρὸ ἡμῶν. Πλὴν ἔγωγε καὶ ἀπάρτι κατ᾽ ἐμαυτοῦ τὴν μέλαιναν τίθημι, ὡς εἰ καὶ δὶς τοσούτους ἤπερ ἐκεῖνοι ποιήσοιμι, οὐκ ἂν φθαίην ἐκείνους κατ᾽ οὐδέν γε τῶν πονημάτων. Ἔρρωσο.*

38 *Δίκην ὁ πᾶσιν ἐκτίνων ὀρθὴν ἴσην*
*ἰσημερίας εὐλόγησον τὸν χρόνον.*

*1*

*Μηνὶ Σεπτεμβρίῳ πρώτῃ, εἰς τὸν ἅγιον Συμεὼν τὸν Στυλίτην.*

*Ὁδὸς κατεσκεύαστο τῷ Συμεώνῃ,*
*στύλος δ᾽ ἐκεῖνος καὶ γέφυρα πρὸς πόλον.*
*ἀμπαύθη Συμεώνης πρώτῃ Σεπτεβρίοιο.*
*Ὑγρὰ κέλευθα βίοιο διαπλώσας Συμεώνης,*
*ἔφθατο εἰς λιμένα εὔδιον, ἡσύχιον.*

*2*

*Μηνὶ τῷ αὐτῷ ἕκτῃ, εἰς τὸ ἐν Χώναις θαῦμα τοῦ ἀρχιστρατήγου Μιχαήλ.*

*Καὶ τοῦτο σόν, φέριστε τῶν ἀσωμάτων,*
*νεὼν κατακλύσον σου ῥεῦμα χωννύειν.*
*Κρύψατο γῇ Μιχαὴλ ποταμοῖο ῥέεθρ᾽ ἀνὰ ἕκτην·*
*ῥεῖα σαώσατο οὐρανιώνων ὄρχαμος ἄμφω,*
*Ἄρχιππον ζάκορον ἠδὲ νεὼν σφέτερον.*

*3*

*Μηνὶ τῷ αὐτῷ ὀγδόῃ, εἰς τὴν γέννησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

*Γέννησιν ὑμνῶ τῆς ἀμωμήτου κόρης*
*δι᾽ ἧς ἀνεπλάσθημεν τὸ βροτῶν γένος.*
*Ὀγδοάτῃ Μαρίην θεομήτορα γείνατο Ἄννα,*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*φῦλον ἀτιμότατον θ' ὃ γυναικῶν ἔπλετο πρόσθεν*
*κόσμησεν Μαρίη, παρθενικὴ θεόπαις.*

4

38v *Μηνὶ τῷ αὐτῷ ιδῃ', εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν.*

*Φύσιν πλανήσας τὴν ἀνθρώπινον ξύλῳ,*
*ξύλῳ καὶ αὐτὸς βάλλεται τὴν καιρίαν.*
*ἀμφὶ τετάρτῃ καὶ δεκάτῃ ξύλον ἱερὸν ἤρθη.*
*σκῆπτρον ἀείρεται ὑψοῦ χρυσόκερων βασιλῆος*
*χείρεσιν ἱερέων, οὗ μεγάλη δύναμις.*

5

*Μηνὶ τῷ αὐτῷ ιστῃ', εἰς τὴν ἁγίαν Εὐφημίαν.*

*Εὐφημία, πρέπει σοι ἡ εὐφημία,*
*ὑπὲρ θεοῦ λαβοῦσα ἄσμενος μόρον.*
*Ἕκτῃ καὶ δεκάτῃ Εὐφημία κάλλιπε σῶμα.*
*Πολλὰ ἐνὶ σταδίῳ Εὐφημία δεινὰ παθοῦσα*
*ὑστάτιον κυρίῳ πάρθετό γε ψυχήν.*

6

*Μηνὶ τῷ αὐτῷ κῃ', εἰς τὸν ἅγιον Εὐστάθιον.*

*Ἀπηνὲς ἔργον τοῦ Φαλάριδος, φλέγει*
*τὸν Εὐστάθιον βοῦς πεπυρακτωμένη.*
*Εἰκάδι Εὐστάθιος καύθη ἅμα σὺν τεκέεσσιν*
*Εὐστάθιος σταυρὸν κατιδὼν ἐλάφου κεράεσσιν*
*«τίπτε διώκεις με» ἔκλυεν «ὦ Πλακίδα!».*

7

*Μηνὶ τῷ αὐτῷ κστῃ', εἰς τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον.*

*Ὃν εἶπε Χριστὸς ἠγαπημένον φίλον,*
*πάρεστιν αὐτῷ νῦν καλῶν θεὸν λόγον.*
*Ἔκπτατο γαίης ἰσόθεος φῶς εἰκάδι ἕκτῃ·*
*ἄγξε κυάνωπα Ἰωάννης ἐπὶ οἴνοπα πόντον*
39 *νήσου ἀπωσάμενος ἣν ἐς ἔτ' ἀμφιέπει.*

8

*Μηνὶ τῷ αὐτῷ λῃ', εἰς τὸν ἅγιον ἱερομάρτυρα Γρηγόριον τῆς μεγάλης Ἀρμενίας.*

*Ὁ γρήγορος νοῦς καὶ κανὼν θείων νόμων*
*καὶ νῦν δι' ἡμᾶς γρηγορεῖ μετ' ἀγγέλων.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

Γρηγόριος τριακοστῇ ἐς πόλον ἄπλετον ἤχθη·
αὐτὰρ ἐπειδὴ λάκκου ἐξανέδυ σκοτόεντος,
βάπτισε Τηριδάτην, ἐκ μανίης δ' ἔλετο.

9

*Μηνὶ Ὀκτωβρίῳ αη', εἰς τὸν ἅγιον ἀπόστολον Ἀνανίαν.*

"Εξω Δαμασκοῦ ἐκβληθεὶς Ἀνανίας,
λίθοις ἐχώσθη, τὴν ψυχὴν δ' ἔχει πόλος.
Πρώτῃ Ἀνανίας Ὀκτωβρίου ᾤχετο ἔνθεν·
Λουκιανὸς φλέγε λαμπάσι σῶμ' Ἀνανίου
ὃς δ' ἔφατ' «οὐκ ἐμὲ σύ, τὸν δὲ γ' ἐμὸν λέκυθον»

10

*Μηνὶ τῷ αὐτῷ βη', εἰς τὸν ἅγιον Κυπριανὸν καὶ εἰς τὴν Ἰουστίναν.*

Κυπριανὸς τέμνονται καὶ Ἰουστίνα·
μετ' ἐκβολὴν σιδηροῦ τηγάνου κάρας
δευτέρ' Ἰουστίνῃ κράτα σκυτμήθη Κυπριανός·
39v κάλλιπε δαίμονας ἠδὲ τέχνην μανικὴν Κυπριανός,
σύν τε Ἰουστίνῃ ᾄσματα θεῖα λέγει.

11

*Μηνὶ τῷ αὐτῷ γη', εἰς τὸν ἅγιον Διονύσιον τόν Ἀρεοπαγίτην.*

— «Διονύσιε, σοὶ λόγων ἐμῶν μέλει;»
— «καὶ τοῦ τυχόντος, οὐσῶν χρεία μοι μόνων»·
ἣν κεφαλὴν τριτάτῃ γὲ λαβὼν θέε· θαῦμ' ἰδέσθαι.
στάθμη ἐῶν, σοφίης ἀγός, Οὐλύμπιο θεωρός,
πάντα ἔησθα ἔχων, Διονύσιε μάκαρ.

12

*Μηνὶ τῷ αὐτῷ στη', εἰς τὸν ἅγιον ἀπόστολον Θωμᾶν.*

Θωμᾶς ἀνεῖπε τὸν θεοῦ τρανῶς λόγον
Ἰνδοῖς, Πάρθοις, Μήδοις τε καὶ Πέρσαις τέλος.
"Εγχεα δουλιχόεντα κατέκτανεν ἕκτῃ Θωμᾶν·
οἰνοχόοιο ῥάπισμα παρῃΐδι δέξατο Θωμᾶς,
αἷψα δ' ὅ γ' ἠρᾶτο. Γέντο δὲ πρῆγμ' ὅ λόγος.

13

*Μηνὶ τῷ αὐτῷ ιστη', εἰς τὸν ἅγιον μεγαλομάρτυρα Λογγῖνον τὸν ἑκατόνταρχον.*

Ἐπεὶ Λογγῖνος θαύματ' εἶδε καὶ πάθη,
γένοιτ' ἂν εὐθὺς μάρτυς Χριστοῦ καὶ κήρυξ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*Δειροτομήθη Λογγῖνος δεκάτην ἀνὰ ἕκτην.*
*Καππαδόκαι σὲ μέγα κλέος ἠδέ τε ἕρκος ἔχοντες*
*λυτροῦνται παθέων, φέρτατε λογχοφόρων.*

*14*

*Μηνὶ τῷ αὐτῷ ιηῃ', εἰς τὸν ἅγιον ἀπόστολον καὶ Εὐαγγελιστὴν Λουκᾶν.*

40 *Λουκᾶς ἰατρὸς οὐ μόνον τῶν σωμάτων*
*ἀλλ' οὐδὲν ἧττον καὶ ψυχῶν παθημάτων.*
*Ὀγδοάτῃ δεκάτῃ μετεκίαθε Λουκᾶς γῆθεν·*
*Ἀντιόχειά σε γείνατο μὲν Λουκᾶ μεγαλῆτορ,*
*ἔργα δὲ σεῖο χειρὸς ἵκετο γῆς δι' ὅλης.*

*15*

*Μηνὶ τῷ αὐτῷ κῃ', εἰς τὸν ἅγιον Ἀρτέμιον.*

*Λιπὼν ὁ Ἀρτέμιος δουκὸς ἀξίαν*
*θεοῦ τέτευχεν ἀφθίτου ἐξουσίας.*
*Εἰκάδι Ἀρτεμίοιο κάραν τάμε χαλκὸς ἀτειρής·*
*ὄμματα μαρμαίροντα δαΐφρονος Ἀρτεμίοιο*
*πεῖραν ἀπηνέες ἀμφ' ὀβελοῖς ἀνέρες.*

*16*

*Μηνὶ τῷ αὐτῷ κγῃ', εἰς τὸν ἅγιον ἱερομάρτυρα καὶ ἀπόστολον Ἰάκωβον.*

*Λαβὼν ὁ Ἰάκωβος ἀρχὴν ποιμένος*
*ὁδὸν δίδωσι πλείστοις πρὸς σωτηρίαν.*
*Τρῶσαν ἀδελφειὸν τριτάτῃ ξύλῳ εἰκάδι Χριστοῦ·*
*ὠμότατον γένος Ἰουδαίων ἠδ' ἀχάριστον,*
*ῥῖψεν Ἰάκωβον ἄκρον ἐξ ἱεροῦ.*

*17*

40v *Μηνὶ τῷ αὐτῷ κστῃ', εἰς τὸν ἅγιον καὶ μέγαν Δημήτριον τὸν μυροβλύτην.*

*Νυγεὶς ὁ Δημήτριος τὴν πλευρὰν λόγχαις,*
*πάθους ἀπεικόνισμα ἤ γε κυρίου·*
*ᾤχετο καὶ Δημήτριος ἄλκιμος εἰκάδι ἕκτῃ.*
*Οὐτάσθη Δητήτριος αἰχμῇσι στυβαρῇσι*
*πλευρὴν δεξιτερήν, δεύετο δ' αἵματι γῆ.*

*18*

*Μηνὶ τῷ αὐτῷ κζῃ', εἰς τὸν ἅγιον Νέστορα.*

*«Θεός» Νέστωρ ἔφησε «τοῦ Δημητρίου,*
*δός μοι Λυαῖον νικῆσαι μιαιφόνον».*



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*ἑβδομάτῃ θάνεν ἠδέ τε ἔκτανεν εἰκάδι Νέστωρ.*
*Νέστωρ θῆρ᾽ ὀλοφώνιον ὄμβριμος ἔκτα Λιαῖον*
*φάσγαν᾽ ἐρυσσάμενος ῥίμφα γε κουλεόθεν.*

*19*

*Μηνὶ Νοεμβρίῳ αη', εἰς τους ἁγίους καὶ ἰαματικοὺς ᾽Αναργύρους, Κοσμᾶν καὶ Δαμιανόν.*

*Δαμιανῷ Κοσμᾷ τε τοῖς ᾽Αναργύροις*
*θεὸς δέδωκε τὴν χάριν τῶν σκαμμάτων·*
*ὄμματ᾽ ἀκεστορέων πρώτῃ σκότος ἀμφεκάλυψεν,*
*ἀργυρέας ψυχὰς ᾽Ασκληπιαδῶν ἀμπτάσας,*
*σκήνεα κοσμοῦσι θαύμασ᾽ ἀπειρεσίοις.*

*20*

*Μηνὶ τῷ αὐτῷ ηη', εἰς τὴν σύναξιν τῶν ἐννέα ταγμάτων καὶ εἰς τὸν ἀρχιστράτηγον Μιχαήλ.*

*Τίς ἂν δύναιτ᾽ ἄϋλον φύσιν αἰνέσαι*
*φέρων ἔνυλον καὶ γεηρὸν σαρκίον;*
*Πάντες ἅμ᾽ ὀγδόῃ ἀγγελέες θεότητος ἄγερθεν.*
*῞Ημερος ἥκοις μοι μέγα φέρτατε οὐρανιώνων,*
*ἡνίκα ἐκ ῥεθέων μεῖο λάβῃς ψυχήν.*

*21*

41 *Μηνὶ τῷ αὐτῷ ιγη', εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν ᾽Ιωάννην τὸν χρυσοῦν τὴν γλῶτταν.*

*Χρυσοῦ βύσαντος στόματος γ᾽ ᾽Ιωάννου*
*ψυχὴ πόλονδε κελαδεῖ μετ᾽ ἀγγέλων.*
*Τὸν σοφίης μελεδωνὸν ᾽Ιωάννης στεφαννοῖ*
*χρύσεα χείλεα θειοφόρον καὶ ᾽Ιωάννοιο*
*βῦσε μέλας θάνατος οὐ πάντες δοῦλοι*
*ἀργύρεον γαίῃ θεοειδοῦς σῶμα λιποῦσα*
*χρυσέ᾽ ᾽Ιωάννου ψυχὴ βῆ χαρκοβατὲς δῶ.*

*22*

*Μηνὶ τῷ αὐτῷ ιδη', εἰς τὸν ἅγιον ἀπόστολον Φίλιππον.*

*῞Ιππου Φίλιππος συντομώτερον τρέχει*
*ἀποστόλοις ἀκήρατον ὁμοῦ πέδον.*
*Κύμβαχον ὠμοὶ σταυρώσαντο Φίλιππον θῆρες*
*καί ῥα διὰ σπίδεος πεδίοιο Φίλιππος σκιρτᾷ*
*νωλεμέως ᾄδων σὺν σφετέροισι φίλοις.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*23*

*Μηνὶ τῷ αὐτῷ ιστη′, εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Ματθαῖον.*

*Βίον μισήσας τοῦ τελώνου, τρισμάκαρ,*
*κὰλοῦντι Χριστῷ ἠκολούθησας πόθῳ.*
*Πῦρ δεκάτῃ κατέκαυσε λιρὸν Ματθαῖον ἐν ἕκτῃ.*
*Οὔρεος ἐν λοφιῇ Ματθαίῳ ἔδωκε Χριστὸς*
*ῥαῦδον ἔχειν ᾗ δὴ μυρί' ἔοργε καλά.*

*24*

*Μηνὶ τῷ αὐτῷ καη′, εἰς τὴν ἐν τῷ ναῷ εἴσοδον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.*

41v *Θεοῦ νεὼν ἄγουσιν ἔμψυχον θύται,*
*νεὼν μὲν εἰς ἄψυχον, ἅγιον δ' ὅμως.*
*εἰς ἄδυτον Μαρίη κόρη εἰσέδυ εἰκάδι, πρώτῃ·*
*Ἄγγελος εἰν ἀδύτῳ Μαρίην τρέφει παμμακάριστον,*
*οὐρανίῳ ἄρτῳ, ἀμβροσίᾳ τε πόσει.*

*25*

*Μηνὶ τῷ αὐτῷ κγη′, εἰς τὸν ἅγιον Ἀμφιλόχιον, ἐπίσκοπον Ἰκονίου.*

*Λόγους Ἀρείου καὶ σειρὰς κακοπλόκους*
*τῇ σφενδόνῃ σου εὐπετῶς διεσχίσω.*
*Ἀμφιλόχιον ἀνήγαγον εἰκάδι ἐν τριτάτῃ νοΐ·*
*ὥς φάτο Ἀμφιλόχιος Θεοδοσίῳ βασιλῆϊ:*
*τίπτε, ἄναξ, ἀλγεῖς παιδὸς ἀτιομένου;*
*«εἰ γάρ τοι ἀνιηρὸν φαίνεται υἱέος ὕβρις,*
*πῶς οἴει γε θεὸν οἰσέμεν εὐπετέως;»*

*26*

*Μηνὶ τῷ αὐτῷ κεη′, εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Αἰκατερίναν.*

*Αἰκατερίνα ῥήτρας πεντήκονθ' ἅμα*
*λόγοις σοφοῖς ἤλεγξε καὶ δίκην λάβε.*
*Μαρτυρίου στέφος εἰκάδι πέμπτῃ ἕλ' Αἰκατερίνα·*
*ἀτρεκέως σοφίην θεὸς ἀδρανέεσσι δίδωσιν·*
*ᾗ γὰρ ἀπείπῃ τίς, κεῖσε παρὼν ἐρέθει.*

*27*

*Μηνὶ τῷ αὐτῷ λη′, εἰς τὸν ἅγιον ἀπόστολον Ἀνδρέαν.*

*Ὁμαίμονα κτείνουσιν Ἀνδρέαν Πέτρου*
*υἱεῖς Ἀχαιῶν, τὸν θύρσον τῆς ἀνδρίας,*
42 *τὸν σταύρωσαν Ἀχαιοὶ κακκεφαλῆς τριακοστῇ·*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*τίπτε καρηκομόωντες ἔνην σταυρῶσατ' Ἀχαιοὶ*
*Ἀνδρέαν ἠνορέης, ὄζον ἀειθαλέα;*

*28*

*Μηνὶ Δεκεμβρίῳ αη', εἰς τὸν ἅγιον προφήτην Ναούμ.*

*Ναοὺμ προφῆτα, δός μοι νῦν προθυμίαν*
*στίχους κροτῆσαι σῆς ὀμφῆς ἐπαινέτας.*
*Ὄσσε Δεκεβρίου ἀμφεκάλυψε πρώτη Ναούμ·*
*ὕδατι δ' ὃς γλυκερῷ μαλερῷ πυρὶ τ' εἶπε Νινευΐ*
*θᾶσσον ἀπολλύμεναι· δὴ γὰρ ὃ καὶ γέγονεν.*

*29*

*Μηνὶ τῷ αὐτῷ αη', εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Βαρβάραν.*

*Πατὴρ κεραυνῷ παῖδα κτείνας ἐφθάρη*
*καὶ παῖς θανοῦσα φῶς ἀνέσπερον βλέπει·*
*πατρώης ὑπὸ χερσὶν Βαρβάρα δειροτομήθης.*
*οὔρεος ἐν σκοπιῇ παλάμησι τε ᾗσι κατακτὰς*
*τηλυγέτιν θύγατρα, σμήχθης πρηστῆρι.*

*30*

*Τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὸν ἅγιον Ἰωάννην τὸν Δαμασκηνόν.*

*Ἐγὼ μελῳδὸς εἴπερ ἦν, Ἰωάννη,*
42v *μελῳδίας ἐμῆς ἂν ἠξίωσά σε.*
*Τίς ῥ' ἀπ' ἐμεῖο κεν ἄξιος αἶνος σεῖο γένοιτο;*
*ἔμπης δέχνυσο τεοῖο ἔπη θεράποντος ἀλιτροῦ*
*οὐδενὸς ἄξια μέν, σήματα δ' αὖ φιλίης.*

*31*

*Μηνὶ τῷ αὐτῷ στη',εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Νικόλαον τὸν θαυματουργόν.*

*Λαβὼν ὁ Νικόλαος ταινίαν νίκης,*
*ψυχωφελῆ δίδωσι δῶρα τοῖς φίλοις.*
*Ἕκτη δ' ἤρθη Νικόλεως ἐλαφηβολιῶνος·*
*ζάπλουτον Λυκίης μυροσῶον ἀρχιερῆα*
*τίπτε τίς αἰτήσας οὐκ ἔτυχ' εὐπετέως;*

*32*

*Μηνὶ τῷ αὐτῷ ζη', εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἀμβρόσιον, ἐπίσκοπον Μεδιολάνων.*

*Λιπὼν ὁ Ἀμβρόσιος τὸν πλάνον βίον*
*ἀγάλλεται νῦν εἰς ἀπλανὲς χωρίον.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*ἄφθιτον ἐς πέδον ἵκετο ἑβδόμῃ ἀμβρόσιον κῆρ.*
*Ἀμβρόσιος στόματ' ἀνδρῶν δυσσεβέων κατέβυσεν*
*ἠμὲν Ἀρείοιο, ἠδέ τε Εὐνομίου.*

*33*

*Μηνὶ τῷ αὐτῷ ηῃ΄, εἰς τὸν ἅγιον Πατάπιον.*

*Ἀφεὶς ὁ Πατάπιος ἀνθρώπων πάτον*
*πατεῖ τὸ Ἠλύσιον σύν γε δικαίοις.*
*Πατάπιος βροτολοιγὸν ὑπάγξας ἐστεφάνωται.*
*Παταπίοιό τε κῆρ εἰν λειμῶν' ἀνθεμόεντι,*
*καρπὸν ὀπωρίζει αὐτόματον τ' ἄπονον.*

*34*

*Μηνὶ τῷ αὐτῷ ϑη΄, εἰς τὴν σύλληψιν τῆς ἁγίας Ἄννης,*
43 *ὅτε συνέλαβε τὴν Ὑπεραγίαν Θεοτόκον.*

*Ὅστις δ' ἀπείρανδρον θεοῦ φιλεῖ θρόνον,*
*Ἄνναν γε τὴν προμήτορα γεραιρέτω·*
*μητέρα σύλλαβεν εἰνάτῃ Ἄννα στεῖρα θεοῖο·*
*Ἄνναν μητέρα μητρὸς Χριστοῖο, κλεόπαιδα,*
*αἰνέομεν μέροπες, οὐράνιοί τε νόες.*

*35*

*Μηνὶ τῷ αὐτῷ ιδη΄, εἰς τὸν ἅγιον Θύρσον.*

*Θύρσος δ' ὁ θεῖος τὸν θεοῦ θύρσον φέρων*
*θύρσον κατεφρόνησε τοῦ Διονύσου.*
*ᾤχετ' ἀειθαλὴς Θύρσος ποτὶ ἄμβροτον οὖδας·*
*Θύρσον ἀγακλειτοῖο δίοιό τ' ἀπέπτη θυμὸς*
*ἐς μακάρων νήσους, ἄφθιτον ἐς δάπεδον.*

*36*

*Μηνὶ τῷ αὐτῷ ιεη΄, εἰς τὸν ἅγιον ἱερομάρτυρα Ἐλευθέριον.*

*Ἐλευθέριος νοῦν ἐλεύθερον ἔχων*
*ἐλευθέρως ἄπεισιν εἰς πόλον πλάτη·*
*πέμπτῃ καὶ δεκάτῃ περιπύστου Ἐλευθερίοιο*
*πνεῦμα πόλονδ' ἀνέβη γαίῃ σῶμα λιπόν.*

*37*

*Μηνὶ τῷ αὐτῷ ιζη΄, εἰς τοὺς ἁγίους τρεῖς παῖδας.*

*Τρεῖς παῖδες εἰκόνιζον, ὦ θεοῦ λόγε,*
*γεννήτορα, πρόβλημα καὶ σὲ τὸν μέσον.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*ἑβδομάτῃ δεκάτῃ πῦρ ἀκάματον τρισὶν εἶξε·*
*τρεῖς παῖδες θεοειδέες εἰκόνι οὐ γόνυ κάμψαν·*
*πρὶν δ᾽ εἵλοντο θανεῖν ἢ τότε ἐκτελέσαι.*

*38*

43v *Τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὸν προφήτην Δανιήλ.*

*Σύ, Δανιὴλ μέγιστε, θάρσος δαιμόνων,*
*ἄγαν κάτω βέβληκας ὡς τὸ θηρίων·*
*ἑβδομάτῃ δεκάτῃ Δανιὴλ τάμον εἶδος ἄριστον,*
*σώφρονα τ᾽ ἀσκητήν, λέκτορα τ᾽ ἐσσομένων.*

*39*

*Μηνὶ τῷ αὐτῷ κβῳ᾽, εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Ἀναστασίαν.*

*Νεκρῶν μένουσ᾽ ἔγερσιν Ἀναστασία,*
*εἴληφε δῶρον τοὺς κάμνοντας ῥωννύειν·*
*κάραν Ἀναστασίῃ ἐνὶ εἰκάδι δευτέρᾳ τμήθη·*
*χρυσογόνοιο δίοιο Ἀναστασίην Ρωμαίαν*
*μύστιδα εὐφυέα πᾶσι δίκαιον ὕδειν.*

*40*

*Μηνὶ τῷ αὐτῷ κγῳ᾽, εἰς τοὺς ἁγίους μάρτυρας δέκα, τοὺς ἐκ Κρήτης καὶ ἐν τῇ Κρήτῃ.*

*Ὅσοι φιλοῦσι τὴν πανθαύμαστον Κρήτην*
*παθημάτων λυτροῦσθε μάρτυρες δέκα.*
*Τιμήεντα δέκ᾽ ἄνθεα Κρήτης πέφνε σίδηρος·*
*Κρήτῃ ἐνὶ κραναῇ δέκα μάρτυρας εἷλεν ἀτειρὴς*
*χαλκός, ὁμοῦ πάντας ἰσοθέους ἀνέρας.*

*41*

*Μηνὶ τῷ αὐτῷ κεῳ᾽, εἰς τὴν κατὰ σάρκαν γέννησιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.*

*Θεὸς βροτὸς γέγονεν, ὢ ξένου τόκου,*
*ὅπως γένοιτ᾽ ἄνθρωπος ἄβροτος πάλιν.*
*Εἰκάδι γείνατο πέμπτῃ ἀμήτορα παρθένος υἷα*
*τηλυγέτην παλάμησιν Ἰωσὴφ δέχνυσο σῇσιν,*
44 *ὃν Μαρίη τέκετο καὶ ῥ᾽ ἀτίταλλε γέρον.*

*42*

*Μηνὶ τῷ αὐτῷ κςῳ᾽, εἰς τὸν ἅγιον ἀπόστολον καὶ ἀρχιδιάκονον Στέφανον, τὸν πρωτομάρτυρα.*

*Πάντων Στέφανος πρώτατος στεφηφόρος,*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*στέφος νόου εἴληφ' ἀκηράτῳ καρπῷ·*
*βάλλονσ' ἀμπλακίης Στέφανος λίθοις ἄκος ᾔτει.*
*λάεσι βαλλόμενος Στέφανος θεοειδὴς εἶπε :*
*«Μὴ στήσῃς, Κύριε, σφέων τὴν ἀμπλακίην».*

43

*Μηνὶ Ἰανουαρίῳ αη', εἰς τὴν κατὰ σάρκα περιτομὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.*

*Θέλων παλαιὸν πληρῶσαι Χριστὸς νόμον*
*τὸ σώματος κάλυμμα καὐτὸς ἐτμήθη·*
*ἤματι ὀγδοάτῳ γε θεάνθρωπος περιτμήθη·*
*χεὶρ μέροπος τέτεμεν δέρος ἄκρον ἀμήτορος υἷος,*
*ὃν δεδίασι νόες καὶ ῥ' ὁρατῶν τὸ γένος.*

44

*Τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Βασίλειον τὸν μέγαν.*

*Τυχὼν ὁ Βασίλειος τῆς βασιλείας,*
*αἰτεῖ κατ' ἐχθρῶν τῶν βασιλέων νίκας·*
*παμμεδέων Βασιλεῖον ψυχὴν δέξατο πρώτη·*
44v *Καππαδοκῶν Βασίλειε, μέγα κλέος, οὕνεκα μούσης*
*ἡμέων μνείαν ἔχε καὶ ῥ' ἀρετῆς ἁπάσης.*

45

*Μηνὶ τῷ αὐτῷ ςτ', εἰς τὰ ἅγια Θεοφάνια.*

*Μορφὴ πελείας καὶ πατρὸς θεοῦ λόγος*
*υἱὸν ποθεινὸν μαρτυρεῖ τοῖς ἐν σκότει·*
*ἐμφανίη Τριάδος πέλεν ἕκτῃ Μουνιχιῶνος.*
*Χριστὸς χρυσοδίνοιο Ἰαρδάνου ἀμφὶ ῥέεθρα*
*ἀμπλακίας μερόπων ὤλεσε βαπτισθείς.*

46

*Μηνὶ τῷ αὐτῷ ζη', εἰς τὸν ἅγιον ἔνδοξον προφήτην καὶ πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην.*

*Τίς οὐχ ὑμνήσει τῆς Ἐλισάβετ γόνον ;*
*ἐκ κοιλίας ἔγνω γὰρ τὸν θεοῦ λόγον·*
*ἑβδομάτῃ βασιλῆος ἐπαινῶ χειραπτῆρα*
*ἣν ἄρα κακκεφαλῆς βροτοσώου χεῖρα βαλέσθαι,*
*βαπτιστὴν σφετέρην, ὄρχαμον ἀγγελέων.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*47*

*Μηνὶ τῷ αὐτῷ ιϑ', εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γρηγόριον τὸν Νύσσης.*

*Πᾶσαν διελϑὼν τὴν ἐγκύκλιον τέχνην,*
*εὗρες δι' αὐτῆς τὸν ποϑούμενον λόγον.*
*Γρηγόριος δεκάτῃ ϑανάτου μέλανος πέραϑ' ἧκεν*
*συζυγίην σοφίης γε ἀδελφεῶν εὖ εἰδυῖαν,*
*οὔτε τις εἶδέ ποτε, μητ' ἐσέπειτα ἴδοι.*

*48*

*Μηνὶ τῷ αὐτῷ ιβϟ', εἰς τὴν ἁγίαν μάρτυρα Τατιανήν.*

*Τατιανὴν τάττουσιν ἀγγέλων τάξεις*
45 *ὅπου πέφυκε τάξις ἡ τῶν μαρτύρων,*
*Ταττιανῆς τάφον ἄνδρες ἀπηνέες αὐχένα χαλκῷ,*
*οὐτιδανοὺς δὲ πόσους ἀπεφήνατο πατρίδ' ἐν αἴῃ,*
*γυνὴ ταττιανὴ τατιανοὺς ἀνέρας.*

*49*

*Μηνὶ τῷ αὐτῷ ιστϑ', εἰς τὴν ἅλυσιν τοῦ ἁγίου ἀποστόλου πρωτοκορυφαίου Πέτρου*

*Νεὼς ὁ σὸς πρόσοικος ἦν μοι τοῖς δόμοις*
*ὅπου γε σειρὰν σὴν ἔθηκαν τιμίαν.*
*Ἕκτη καὶ δεκάτῃ κομίσαντο πόλινδε ἅλωσιν·*
*πολλάκι δ' ἐγκατέδαρϑον σῷ περικαλλέϊ νηῷ*
*ϑεία δ' ὀδμή τις ἐξ ἀδύτου μ' ἵκανεν.*
*Ἀλλά γε νῦν ἐμᾷ οἰκία ἀμφιβεβήκασιν Οὖνοι,*
*σεῖο τε εἰν σηκῷ δὴν ἀλαλάζουσιν.*
*Τίς κὲν ταῦτα ἐνὶ φρεσὶν ἄλγεα ϑῆκεν ἐμῇσιν;*
*Εἴϑ' ἄρα μὴ γενόμην ἢ μολόμην Ἄιδι.*

*50*

*Μηνὶ τῷ αὐτῷ ιζϑ' εἰς τὸν ὅσιον πατέρα ἡμῶν καὶ μέγαν Ἀντώνιον.*

*Ὠνήσεως τὸ ἄνθος χρυσίνων πόσων;*
*Πρίαιτο ἂν τις τὴν φρίκην τῶν δαιμόνων;*
*ἑβδομάτῃ δεκάτῃ ϑάνεν Ἀντώνιος ἀναίμων*
*δυσγενέων ϑηρῶν Ἀντώνιος οὐλαμὸν ἄγξας,*
*εὐγενέων ἀνδρῶν πλῆσεν ἔραν μονίην.*

*51*

*Μηνὶ τῷ αὐτῷ ιηϑ', εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἀθανάσιον τὸν μέγαν*

*Φίλοις ἀπαιτεῖ τὴν ἰσόσταθμον δόσιν*
45v *τυχὼν Ἀθανάσιος ἀϑανασίας*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*αἴκε θανὼν ᾖς Ἀθανάσιε, ζῇς ἀρετῇσιν.*
*Δυσθανέως θεράποντος ἀπηλεγέως τε Ἀρείου*
*τείχεσι πλήτ' Ἄρεος ἶνα κατηδάφισας.*

*52*

*Τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Κύριλλον τὸν μέγαν.*

*Ὁ προστάτης Κύριλλος τῆς ἐκκλησίας*
*καθεῖλε Νεστόριον τὸν λεωφθόρον·*
*ὃν ποθέεσκε Κύριλλος τέτμε θεὸν βασιλῆα*
*οὐρανίων ἀγαθῶν ἀπόνησι Κύριλλος θεῖος*
*οὕνεκα σωφροσύνης καὶ σοφίης σφετέρης.*

*53*

*Μηνὶ τῷ αὐτῷ κη΄, εἰς τὸν ὅσιον πατέρα ἡμῶν τὸν μέγαν Εὐθύμιον.*

*Θεοῦ παριστάμενος τῷ τρισολβίῳ*
*θρόνῳ ὁ Εὐθύμιος χαίρει καὶ μέλπει :*
*«Ἔρρ'» ἔφατ' Εὐθύμιος, «βίε εἰκάδι, οὔ μοι σεῖο».*
*Εὐθυμίοιο δίον ψυχὴν Αϊς οὐκ ἐδυνάσθη*
*ἀμφιπεδήσασθαι· πτίλα σαώσατο γάρ.*

*54*

*Μηνὶ τῷ αὐτῷ κε΄, εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γρηγόριον τὸν θεολόγον.*

*Ἰδὼν ὁ Βασίλειος ἐν ζώντων τόπῳ*
*παρόντα Γρηγόριον, εἴληφ' ἀσμένως·*
*δέχνυσο Γρηγόριον, Βασίλειε, τεῷ ἐνὶ οἴκῳ*
*ὃς σοφίης ἔραται θεοπέμπτου, κυδιανείρης,*
*Γρηγόριον τὸν ἄγαν μὴ ἐπιλανθανέτω.*

*55*

46 *Μηνὶ τῷ αὐτῷ λη΄, εἰς τὸν ἅγιον ἱερομάρτυρα Ἱππόλυτον, πάπαν Ῥώμης.*

*Καθὼς ὁ ἱππόλυτος πήγασος τρέχει*
*ὅπου χλόη τε καὶ ἀνάψυξις πέλει,*
*Ἱππόλυτος τριακοστῇ ἔκπιεν ἁλμυρὸν ὕδωρ.*
*Ἱππολύτοιο μεγακλέος ἀρχιερῆος Ῥώμης*
*τίς κεν ἄρ' εἴπησιν ὅσσα ἔοργεν ἑά ;*

*56*

*Τῇ αὐτῇ ἡμέρᾳ εἰς τοὺς ἐν ἁγίοις πατέρας ἡμῶν Γρηγόριον, Βασίλειον καὶ Ἰωάννην τὸν Χρυσόστομον.*

*Ὅσοι φιλεῖτε τοὺς σοφοὺς τρεῖς ποιμένας,*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*νομίζετ᾽ εἶναι τοῖς ὅλοις ἰσορρόπους.*
*Γρηγόριον, Βασίλειον, Ἰωάννην θ᾽ ἅμ᾽ ἀείδω·*
*τοὺς ἐρίηρας ἑταίρους καὶ σοφίην εἴσους γε*
*δεῦτε δὴ αἰνέσομεν πάντας ὁμηγερέας.*

57

*Μηνὶ Φεβρουαρίῳ αη΄, εἰς τὸν ἅγιον μάρτυρα Τρύφωνα.*

*Βίου καταφρονήσας τοῦ ἐφημέρου*
*τρυφῆς Τρύφων τέτευχε τῆς ἀκηράτου·*
*πρώτῃ δ᾽ ἐν Φεβρουαρίου Τρύφων ἐδειροτομήθης·*
46v *διογενῆα Τρύφωνα, φαεινὸν μάρτυρα Χριστοῦ,*
*εἷλε μέλας θάνατος καὶ στέφανος χρυσοῦς.*

58

*Μηνὶ τῷ αὐτῷ βα΄, εἰς τὴν Ὑπαπαντὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.*

*Τιν᾽ ὦ γεραιὲ σαῖς ἐν ὠλέναις φέρεις*
*ὃν οὐ πόλος δύναται᾽ ἂν καὶ γῆ βαστάσαι*
*παῖδ᾽ ἀμάλαις ἑαδὼς Μαρίης Συμεὼν φέρε ῥίμφα·*
*δέξατο ἀγλαὰ δῶρα Ἰησοῦς παρὰ θεράποντος,*
*τρηρώνων τρυγόνων τέκνα νεηγενέα.*

59

*Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸν ὅσιον πατέρα ἡμῶν Σίλβεστρον, πάπαν Ῥώμης.*

*Θανὼν παλαιᾶς Σίλβεστρος Ῥώμης πάπας,*
*πόλιν κατοικεῖ νῦν νέαν ἐν τῷ πόλῳ.*
*Ὄρχαμος ἀρχιερήων δευτέρᾳ ἔκπτατο νέρθεν.*
*Σίλβεστρος μέγαν ὃς βασιλῆα ἰήσατο ἄμφω,*
*σώματι τε ψυχῇ τ᾽ ἤπια φάρμακα δούς.*

60

*Μηνὶ τῷ αὐτῷ δη΄, εἰς τὸν ὅσιον πατέρα ἡμῶν Ἰσίδωρον τὸν Πηλιουσιώτην.*

*Ἀφῆκεν Ἰσίδωρος μνήματ᾽ ἐν βίῳ*
*ἐπιστολῶν πλήθη τε καὶ κάλλη λόγων.*
*Ἀμφὶ τετάρτῃ κοιμήθη Ἰσίδωρος ἀγαστός*
*ἀκτεάτοιο βίοιο ἐτήτυμον ἡγεμονῆα*
*οὐδένα τουθ᾽ εὕροις κρείττον ὑπ᾽ ἠέλιον.*

61

*Μηνὶ τῷ αὐτῷ ιζη΄, εἰς τὸν ἅγιον μεγαλομάρτυρα Θεόδωρον τὸν Τήρωνα.*

47 *Σοφῶς ἔλυσας μάρτυς τὰς πανουργίας*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*Ἰουλιανοῦ, τοῦ κακοῦ βασιλέως·*
*ρίμφ' ἀλισγημοῦ Θεόδωρε σάωσας λαόν·*
*τίς κὲν ἀρεθμήσειεν ὁσάττια θαύματα θῆκε*
*Θεόδωρος ζάθεος· καὶ γ' ἐν ἐμοὶ λαλέω.*

62

*Μηνὶ τῷ αὐτῷ κθ//', εἰς τὴν τρίτην εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.*

*Τίς μοι παράσχοι τὴν τοῦ Ὀρφέως λύραν,*
*ὅπως ὑπερθαύμαστον ὑμνήσω κάραν;*
*ἧς ἱερὴν κράτα χεῖρες ἕλοντο κάρη ἔπος ᾄδω·*
*ἀκροτάτης κορυφῆς ὑποφήτου Ἰωάννοιο*
*εὕρεσιν αἰνέομεν πρὸς δυσὶ καὶ τριτάτην.*

63

*Εἰς τὸν τελώνην καὶ τὸν φαρισαῖον.*

*Παραβολὴ τελώνου καὶ φαρισαίου*
*δείκνυσιν ὕψους τὴν ταπείνωσιν κρείσσω·*
*οὔ τι μοι ὑψαυχεῖν κέλεται θυμός, φαρισαῖε·*
*ἀλλά γε σεῖο τελώνη λώϊον ἴχνια βαίνειν.*
*Κάππεσε μὲν γαίῃ φαρισαῖος κύδεϊ γαίων,*
*βῆ δὲ τελωνΐιος ἐς νυπόλον δὲ βίῃ.*

64

*Εἰς τὸν ἄσωτον υἱόν.*

*πολυσχιδοῦς οὔσης γε τῆς ἁμαρτίας*
*πάσας μεταμέλεια σχίζας κωλύει·*
*πληθὺν μ' ἀμπλακιῶν ἀποαίρεο φίλτατ' Ἰησοῦ*
*ἤΰτε δέξατο τῆνος ἀλιτρὸν ἑὸν φίλον υἷα,*
47v *οὕτω με πρόσεο ἵλεως υἱὲ θεοῦ.*

65

*Εἰς τοὺς προκεκοιμημένους.*

*Ψυχὰς προμητόρων μου καὶ γεννητόρων*
*χῶρον καταξίωσον εὐκραοῦς, ἄναξ.*
*Χριστιανῶν ψυχὰς πάντων λίσομαί σ' ἐλέαιρε.*
*λειμῶν' ἐς πολυανθέα ἠδ' ἐρίτιμον τάξον*
*πνεύματ' ἀποιχομένων, γουνέομαί σε, λόγε.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

66

*Εἰς τὴν δευτέραν παρουσίαν.*

*Ὅταν κρίν᾽ ἔλθῃς τὴν παγκόσμιον κρίσιν,*
*ἐν δεξιοῖς τάξον με σῶν μήλων, ἄναξ·*
*τίς παρακαίρια ῥέζων οὐ τρομέει σε, δικαστά ;*
*ἤτοι μὲν φοβέεσθαι λῷον Ὀλύμπιον ἐστὶ*
*λῷστον δ᾽ αὖ φιλέειν καὶ μὴ πλημμελέειν.*

67

*Εἰς τὴν ἐξορίαν τοῦ Ἀδάμ.*

*Καθὼς Ἀδὰμ γένοιτ᾽ ἄν, εἴπερ ἦν τότε,*
*νῦν οὐκ ἂν ἦμεν ὥσπερ κεῖνος ἦν τότε*
*οὕνεκ᾽ Ἀδὰμ πάθομεν σέο τύν᾽ ἡμέων δ᾽ ὕπερ εὖχον·*
*ἥν μοι ἀτασθαλίην Ἀδάμη ῥέξας ειν κήπῳ*
*υἱὸς λῦσε θεοῦ ἐκγεγαὼς Μαρίης.*

68

*Μηνὶ Μαρτίῳ αη᾽, εἰς τὴν ἁγίαν Εὐδοκίαν.*

*Εὐδοκία ἔδειξεν ἡ μακαρία*
48 *ὅσου μεταμέλεια ἄξιον λόγου*
*οὔτις ἄνευ μετανοίης δρῶν παρακαίρια σώσει·*
*ἐμπαθέως βιότοιο περήσασα δεινὰ κέλευθα*
*ὕστατον ἐντίμως κάτθανεν Εὐδοκίη.*

69

*Μηνὶ τῷ αὐτῷ θη᾽, εἰς τοὺς ἁγίους τεσσαράκοντα.*

*Λίμνη γέγηθε μάρτυρας Σεβαστία*
*ἄνδρας τεσσαράκοντα στερνισαμένη·*
*τεσσαράκοντα πάγη δέματ᾽ αὔρησι βορέαο·*
*εἴπερ ὑμέων μνείης οὐκ ἔσχε κόρον Βασίλειος,*
*ἀλλ᾽ ἡμεῖς γε κόρον ἴσχομεν ἀφραδίῃ.*

70

*Μηνὶ τῷ αὐτῷ κεη᾽, εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

*Λόγῳ σαρκωθεὶς τῷ τοῦ ἀγγέλου λόγος,*
*ἐπῆρε σάρκα γῆθεν ἡμῶν εἰς τ᾽ ἄνω·*
*φθέγξατο τῇ Μαρίῃ «Χαῖρ᾽» ἄγγελος εἰκάδι πρώτῃ·*
*ἐμμαπέως ταχὺς ἄγγελος οὐρανοθ᾽ εἰληλούθει·*
*τῇ Μαρίῃ «κύριος σεῖο» φάμεν γε «μέτα».*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*71*

*Μηνὶ τῷ αὐτῷ λη΄, εἰς τὸν ἅγιον καὶ ὅσιον πατέρα ἡμῶν Ἰωάννην τὸν τῆς κλίμακος.*

*Ἰωάννης τίθησιν ἡμῖν βαθμίδας,*
*δι ὧν ἔνεστι γῆθεν ἐλθεῖν εἰς πόλον·*
*χῶρον εἰς εἰαμενῆ τριακοστὴν ᾤχετο δῖος·*
*ἦ μὴν ἀμβάσιας θέτο εἰν κραδί' Ἰωάννης*
*εἰκοῦς τῶν ἀρετῶν τρὶς δέκα θηκάμενος.*

*72*

*Εἰς τὰς θείας καὶ ἱερὰς εἰκόνας.*

48v *Τιμᾶν φιλεῖν τε πῶς οὐ δεῖ τὰς εἰκόνας,*
*ἀπεικονίσματ' οὖσας ἀρχαίων τύπων;*
*ὅς δε τάδ' οὐ τελέει, σοφίης οὐκ ἔστιν ἑταῖρος·*
*ἦ μὴν οὐδὲ ἀληθείης ἐρικυδέος οὗτος*
*δέξεται ἀγλαΐην, ἀλλὰ δίκην κακίης.*

*73*

*Εἰς τὴν σταυροπροσκύνησιν.*

*Ἀειθαλὴς δὲ σταυρὸς ῥίψις δαιμόνων*
*ὅλους ἀνυψοῖ τοὺς προσκυνοῦντας πόθῳ·*
*σκῆπτρον ἀειρόμενον ποτικυνέομεν Χριστοῖο,*
*σημαίαν βασιλῆος ἀριπρεπέα ἱερήων*
*χείρεσιν αἰρομένην λαὸς ἅπας φιλέει.*

*74*

*Εἰς τὴν Ἀνάστασιν τοῦ Λαζάρου.*

*Ἀνάστασις δίδωσι πᾶσι Λαζάρου*
*πίστιν ἀτεχνῶς τοῦ παντὸς βροτῶν γένους·*
*τεθηπέναι δίκαιον Χριστοῦ τὴν χάριν*
*ὅμως μετ' αὐτὸν τιμᾶν τοὺς δεχομένους.*
*Λάζαρος ἠέλιον χρυσάντυγα αὖθις ὄπωπε·*
*Χριστὸς ἑῆς δύναμιν θεότητος δείξατο εἰπών:*
*«Λάζαρε δεῦρο ἴθι, ἄντα Ἰουδαίων».*
*Εἴπερ γὰρ θεὸς οὐκ ἔσκεν, τετραήμερον οὐκ ἂν*
*νεκρὸν ἄρ' ἐκ γαίης ἐξήγειρε λόγῳ.*

*75*

*Εἰς τὴν ἀκάθιστον ἀγρυπνίαν.*

*— Τί μοι πάναγνε καὶ θεοῦ μήτηρ λόγου*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

καὶ νῦν ἔσωσας σὴν ἐρυμένην πόλιν;
— Οὔ μοι ἀεί τι μέλει φιλέειν ἀμετάκλιτον οὖσαν·
49 τύνη δ' αἰτίη ἐστὲ καὶ ἄλλοι χείρονες ἄλλων
οἷς ὥρ' οὐδεμίη τῆς μετανοίας ἦν.

76

Εἰς τὴν ἑορτὴν τῶν Βαΐων.

Παῖδες φέροντες πτόρθους τῶν Ἰουδαίων
ἔφαινον ἧτταν ἐχθροῦ τοῦ μισοβρότου·
Χριστὸς πῶλον ἐφέζετ' ὄνου, ὁ πόλου ταμιοῦχος.
εἵματα νηπίτια φρονέοντ' ἐστρώννυον ἐσθλά,
ἐκτελέοντα φάτιν τοῦ πάνυ φωνοτάτου.

77

Εἰς τὸν δεῖπνον τὸν μυστικόν.

Νόμος παρῆλθεν, ἀντεισήχθη δ' ἡ χάρις
δι' ἧς ἀνῆλθεν εἰς τὸ πρῶτον ἡ κτίσις·
εἴδατα δῶκε φαγεῖν θεὸς ἄφθιτα φοιτητῆσιν·
νίψαο φοιτητῶν πόδας ἠδ' ἀπομόρξαο, σῶτερ,
«ποιεῖτ'» αὐτοῖς φὰς «ἠύθ' ἑωράκατε».

78

Εἰς τὴν σταύρωσιν τοῦ Χριστοῦ.

Παθὼν ὁ σωτὴρ ἀνθρώπων ὑπὲρ γένους,
ἔφηνεν αὐτοὺς τῶν παθῶν ἐλευθέρους·
ἐγγιάλιξόν μοι θεὲ σεῖο πάθεσιν ἀπάθειαν·
χεῖρας ἀειράμενος σταυροῦ ἔπι ὄρχαμος ἧς.
αἷμα δέδωκε πατρὶ λύτρον ἀποιχομένων·
Χριστοῦ αἱματοέσσας δεξαμένη ῥαθάμιγγας
πουλυβότειρα χθὼν ἤμεσεν αἶψα νέκυς.

79

Εἰς τὸ ἅγιον καὶ μέγα Σάββατον.

Θανὼν ἔδωκε Χριστὸς ἀθανασίαν
τοῖς ἐν σκότει τὲ καὶ σκιᾷ καθημένοις.
49v ἀφθορίη γένετ' ἀνθρώποισι μόρος Χριστοῖο
πᾶσ' ἀκέουσα κάθητο θεοῖο γε φύσις ὑπνοῦντος,
προσμενέουσα λύσιν τῶν σφετέρων σειρῶν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

80

*Εἰς τὸ αὐτό.*

*Ἅδης δεδειμάτωται καὶ κατεπλάγη*
*ἰδὼν θεὸν θλάσαντα τὰς αὐτοῦ πύλας*
*ἐξελάπαξ' Ἄϊδου κατιὼν Χριστὸς μέγα τεῖχος·*
*— «Τίπτ' ἄρα δίζεαι, ὦ βασιλεῦ» φάτο παμφάγος Ἅδης*
*— «Δίζω ἐλευθερίην, ἔργου ἐμεῖο χερῶν».*

81

*Εἰς τὴν ἁγίαν καὶ λαμπροφόρον ἀνάστασιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.*

*Ἐξουδένωσαι καὶ πέπαιξαι, ὦ λέων,*
*ἀεὶ τυραννεῖν δόξας τῶν ἐν τῷ Ἅδῃ·*
*αἰγ' ἐκρατήθης τοῦ κρατοῦντος τῷ κράτει*
*ᾧ πᾶν κράτιστον δουλεύει κλίνει γόνυ*
*ἄνεισι καὶ γὰρ ἐξ Ἅδου στεφηφόρος*
*κείνους ἀνιστῶν οἷς θεὸς κατηλλάγη.*

82

*Εἰς τὸ αὐτὸ ἡρωϊκοί.*

*Εἰν Ἀΐδαο δόμοισι θεὸς κατιὼν μετὰ δόξης*
*βένθεα μὲν χθονὸς εὐρυαγυίης ἐδνοπάλιξε,*
*φηρὸς ἀπηνῆος δε ἀνάκτορα ἐστυφέλιξε,*
*ψυχὰς δ' αὖ καταοιχομένων ῥέα λύσατο δεσμῶν*
*εὐπετέως δ' εἰς οὐρανὸν ἀστερόεντ' ἀναῆλθεν.*
*ἐκ δνοφεροῖο τόποιο ἑῆς χειρὸς ἄρμενος ἔργα.*

83

*Εἰς τὸ αὐτὸ ἡρωοελεγεῖοι.*

50 *Τύμβῳ ἐνὶ σκιόεντι τεθείκασι σῶμα θεοῖο*
*νύκτερος Ἰωσὴφ καὶ Νικόδημος ἅμα·*
*ψυχὴ δ' εἰς Ἀΐδαο πυλάρτου εἰσβεβαβυῖα*
*μοχλοὺς αἰβαλέης ῥήξατο ῥηϊδίως·*
*ἔμπης Χριστὸς ἀναστὰς Οὔλυμπόνδ' ἐβεβήκει,*
*δῶμα θεοῖο πατρός, νυκτιλόχον θ' ἅμ' ἄγων.*

84

*Εἰς τὰς δέκα παρθένους.*

*Ἔδειξε Χριστὸς τὴν καλὴν ἀζυγίαν*
*μηδὲν δύνασθαι τῆς εὐποιΐας ἄνευ.*
*Οὐδὲ μίη ἀρετὴ κακίης μέτα οὔτι ὄνησι·*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*καρπαλίμως ἀπεώσατο πέντε κόρας γε θυρωρὸς*
*μὴ συνεπαγομένας τὴν ἐλεημοσύνην.*

*85*

*Εἰς τὸν Ἰωσὴφ τὸν πάγκαλλον.*

*Φανεὶς Ἰωσὴφ ἄλλος Βελλεροφόντης*
*βίον ἀρίστου εἰσαγήοχε στέφος·*
*ἀρχὸς ἀνεξικάκων Ἰωσὴφ ἐξεφαάνθη·*
*θνητῶν πολλῶν πρήξιες ἀρχόμεν ἄλλην ἄλλος*
*αἱ μὲν ἑοῦ πέρατος, αἱ δὲ κακοῖο τύχον.*

*86*

*Εἰς τὴν πόρνην τὴν ἀλείψασαν τὸν κύριον μύρῳ.*

*Πόρνη μύρῳ ἤλειψε Χριστοῦ τοὺς πόδας*
*ἧς αὐτὸς ἐξήλειψε τὰς ἁμαρτίας.*
*ἣ κατὰ δάκρυ χέουσα, πόδας νίπτασκε θεοῖο·*
*αὐτὰρ ἔπειτα κόμησιν ἑῇς ἀπονίζουσ᾽ αὐτοὺς*
*ὣς ἔφατ᾽ οὐλόθριξ: «φθὰς μ᾽ ἐλέαιρε, ἄναξ».*
*Μαγδαλινή, Μαρίη πόδας οὐλοκάρηνος Χριστοῦ*
50v *ἤλειφέν τε μύρῳ, μόργνυτο τ᾽ αὖ τρίχεσιν.*

*87*

*Μηνὶ Ἀπριλλίῳ α΄, εἰς τὴν ὁσίαν μητέρα ἡμῶν Μαρίαν τὴν Αἰγυπτίαν.*

*Ἀφεῖσα βίον τὸν κατεσπιλωμένον*
*ἀκηλίδωτον βίον εὗρε Μαρία.*
*Εὐδοκίῃ ζωὴν Μαρίη ἐναλίγκιον ἔσχεν·*
*ἦ μὴν ἀτρεκέως ἔφαν ἀντίον ἀντίῳ οἴδμεν*
*χρηστῷ μὲν κάκιον, ἐσθλὸν δ᾽ αὖ γε κακῷ.*

*88*

*Μηνὶ τῷ αὐτῷ κγ΄, εἰς τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον.*

*Γεώργιος τίθησιν ἡμῖν εἰς κόρον*
*πάθη τὰ αὐτοῦ ὡς ὀψώνιον ξένον.*
*καρτερικῶς θάνε Γεώργιος εἰκάδι εἰν τριτάτῃ τε·*
*εἰς ἐριβώλακα γαῖαν σπείρας Γεώργιος ἥρως,*
*σίτον ἀγήρω νῦν καὶ πολύκαρπον ἔχει.*

*89*

*Μηνὶ τῷ αὐτῷ κε΄ εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Μάρκον.*

*Εὐαγγελιστὰ Μάρκε τοῦ θεοῦ λόγου*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*ἰδοὺ τέτευχας τῆς ἄνω κληρουχίας·*
*αὐχένα εἰκάδι πέμπτῃ Μάρκου ἔτμαγεν αἰχμή·*
51 *Ὦ πολιοῦχ' Ἐνετῶν μεγαθύμων Μάρκε ἀγῆνορ,*
*ῥύεο σεῖο πόλιν ἔκ γε δολορραφίης.*

90

*Εἰς τὴν νέαν Κυριακήν, ὅτε τῶν θυρῶν κεκλεισμένων ἐπέστη τοῖς μαθηταῖς ὁ σωτήρ.*

*Πίστιν πιστωσάμενος τῇ ἀπιστίᾳ*
*ἔδωκε τοῖς ἔπειτα Θωμᾶς πιστεύειν·*
*Θωμᾶς τρήσεσι σώματος ἔμβαλε Χριστοῦ χεῖρα*
*μυστοπόλων ἐγκλείστων εἰν ἐνὶ δώματ' ἐόντων*
*δείματ' Ἰουδαίων ἠπεροπευτάων·*
*ὀγδοάτῃ Χριστὸς μετὰ τὴν Ἅδου ἐξανέγερσιν*
*πὰρ σφίσιν ἄφνω στάς, δῶκε φίλην λαλιήν.*

91

*Εἰς τὰς μυροφόρους.*

*Μαθητρίας ἑπτὰ Χριστοῦ μυροφόρους*
*ὑμνητέον γε πᾶσι τοῖς αὐτοῦ φίλοις.*
*Αἶνον μυροφόροις ἐρικυδέεσι προσάγω τόν:*
*Μαγδαλινήν, Μαρίην, Μάρθαν τε Σαλώμην μέλπω,*
*σύν γε Ἰωάννᾳ, Σωσάνᾳ, Μαρίῃ.*

92

*Εἰς τὸν παράλυτον.*

*Ἰδὼν Ἰησοῦς ἄνθρωπον παρειμένον*
*λόγῳ ἔδωκεν αὐτῷ τὴν σωτηρίαν·*
*Χριστὸς ῥεῖ' ἀδένωσε παρειμένα γυῖα νοσοῦντος*
*πουλυετῆ νοσέοντα θεησάμενος βροτοσῶος*
*«κράββατον ἆρον» ἔφη. Καὶ ῥ' ὃς ἔθει ταχέος.*

93

*Εἰς τὴν Σαμαρῖτιδα Φωτεινήν.*

*Εὑροῦσα ἄνδρα Φωτεινὴ εἰς τὸ φρέαρ*
51v *ὃς εἶπεν αὐτῇ πάντα τοῦ βίου πράγη,*
*ἱμωνιὰν ἀφεῖσα σύν γε κεράμῳ*
*ὑπῆρξε κήρυξ αὐτοῦ τῶν τεραστίων.*
*ζωὸν ὕδωρ ἰδὲ ἀλλόμενον πίεν ἡ Σαμάρεια·*
*πέντε ἄκουσεν ἔχειν πόσιας Φωτεινὴ δῖα,*
*πὰρ στόματος Χριστοῦ, ὃς κραδίας ὁράει.*



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

94

*Εἰς τὸν τυφλόν.*

*Γῆθεν λαβὼν χοῦν ὁ πλάσας βροτῶν γένος,*
*τυφλὸν ἐξωμάτωσεν ὕδει καὶ κόνει.*
*ἐκ γενετῆς τ' ἀλαῷ φάος εὐρυκρείων δῶκε·*
*πταῖσμα δ' ἰήσατο φύσιος ἤπια φάρμακα εἰδώς,*
*φῶς ἀλαῷ ὀπάσας δεσποτικῇ παλάμῃ.*

95

*Μηνὶ τῷ αὐτῷ λη', εἰς τὸν ἅγιον ἀπόστολον Ἰάκωβον, τὸν ἀδελφὸν Ἰωάννου τοῦ Θεολόγου.*

*Λιπὼν ὁ Ἰάκωβος πλοῖον καὶ δόμον*
*ἀπῆλθεν εὐθύς· ἠκολούθει τῷ λόγῳ·*
*πότμος ἕλε τριακοστὴν Ἰάκωβον περίπυστον·*
*ὑστάτιον στεφάνοιο ἀδελφεὸς Ἰωάννου,*
*πάντα λιπὼν κτέατα, ἔκθανε μαρτυρικῶς.*

96

*Μηνὶ Μαΐῳ αη', εἰς τὸν προφήτην Ἱερεμίαν.*

*Γένος γέμον δόλου τε καὶ ἀπιστίας*
52 *κτείνει λίθοις γε καὶ τὸν Ἱερεμίαν.*
*Κάτθανεν Ἱερεμίης πρώτῃ Μαΐοιο ἀρητήρ·*
*χείρεσι συγγενέεσιν ἀπηνέα δέξατο πότμον*
*Ἱρεμίης θεῖος. Λοίγιον ἔργον ἄγαν.*

97

*Μηνὶ τῷ αὐτῷ πέμπτῃ, εἰς τὴν ἁγίαν Εἰρήνην.*

*Ἡ πρὶν λαχοῦσα τὴν κλῆσιν Πηνελόπης*
*μετωνομάσθη κουροτρόφος Εἰρήνη.*
*Χαλκὸς ἀτειρὴς Εἰρήνην ἕλε καλλιπάρηον·*
*ἔθνε' ἀπειρέσι' ἀνδρῶν ἠδὲ γυναικῶν θῆκε*
*πότνια Εἰρήνη, Χριστιανοὺς ἅμα οἱ.*

98

*Μηνὶ τῷ αὐτῷ ηη', εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Ἰωάννην τὸν θεολόγον.*

*Κἀμοὶ μέγιστε πέμψον νῦν θεολόγων,*
*καθὼς ἔπεμψας ῥώμην τῷ Χρυσοστόμῳ·*
*ὀγδοὰ θ' ὑψιπέτοιο τάφος ῥέα φύσατο μάννα*
*αἱρετικῶν δ' ἄρα ἠπεδανοὺς ἀπεφήνατο μύθους*
*θεολόγος, φάμενος ἀρχῇ ἐόντα λόγον.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*99*

*Μηνὶ τῷ αὐτῷ θη', εἰς τὸν μεγαλοφωνότατον Ἠσαΐαν.*

*Ἔθαψε λαὸς ἐν Σιλωὰμ σὸν δέμας*
*ψυχὴν δὲ θείαν χεὶρ εἴληφε Κυρίου.*
*Ἠσαΐας θάνεν ἀμφ' ἐνάτη Μανασῆ ὕπο πρισθείς.*
*Παρθένον Ἠσαΐας φάτο ἑξέμεν υἱέα γαστρί·*
*ὦ στόματος χρυσοῦ τοῦ φαμένου γε τάδε.*

*100*

*Μηνὶ τῷ αὐτῷ ιβη', εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἐπιφάνιον.*

52v *Μακρὸν βιώσας Ἐπιφάνιος βίον*
*ἀπῆρεν ἔνθεν εἰς μονὰς αἰωνίους.*
*Δωδεκάτη Ἐπιφάνιον κατερύκακε γαῖα·*
*πᾶσι δ' ἀληθέα πίστιν κηρύξαντος Ἰησοῦ,*
*πάμπολλ' αἱρετικῶν χείλεα ἐμφράχθη.*

*101*

*Μηνὶ τῷ αὐτῷ καη', εἰς τοὺς μεγάλους θεοστεφεῖς καὶ ἰσαποστόλους βασιλεῖς Κωνσταντῖνον καὶ Ἑλένην.*

*Ἰδεῖν ὃς ἠξιώθη σταυρὸν ἐν πόλῳ*
*θεοπτίας τέτευχε σὺν ἀποστόλοις·*
*πρώτατος εὐσεβέων βασιλεὺς θάνεν εἰκάδι πρώτη.*
*Κωνσταντῖνον τίω ἠδ' Ἑλένην ἐρίτιμον*
*ἠΰτε μυστοπόλους καὶ προμάχους Κυρίου.*

*102*

*Μηνὶ τῷ αὐτῷ κθη', εἰς τὴν ἁγίαν ὁσιομάρτυρα Θεοδοσίαν.*

*Δόσιν θεοῦ εἴληφε Θεοδοσία,*
*νόσους, πάθη τε φάρμακα θεραπεύειν·*
*σφάχθη εἰκάδι πότνια Θεοδοσίη ἐνάτη τε·*
*πληγὴν Θεοδοσίη κέρατος κεχαρηότι θυμῷ*
*χρίσθη δεξαμένη ἀργυρέῳ κέρατι.*

*103*

*Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.*

*Θεὸς βροτωθεὶς οὐκ ἤμειψε τὴν φύσιν*
*καὶ αὖ ἔσωσεν ὑψωθεὶς τὸ σαρκίον·*
*Ἀνδρόμεον γενεήνδ' ἀναείρας ῥίμφ' ἐθέωσε·*
53 *τεσσαράκοντα μεθ' ἡμέρας ᾤχετο Οὔλυμπόνδε*
*Χριστός, ἐπαγγελίην πνεύματος ἐκτελέσων.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

104

Εἰς τὴν ἁγίαν Πεντηκοστήν.

Θεὸς πέπομφε τὸν παράκλητον φίλοις
ὅπως τελειώσειε τὴν προθεσμίαν·
χείλεσιν εἰν ἑτέροισιν ἐφώνεον ἔθνεσι μύσται·
Χριστὸς μυστοπόλοισι παράκλητον προέηκεν,
εἰν πυρίνης γλώσσης τὴν κακίην δαπανῶν.

105

Εἰς τοὺς ἁγίους Πάντας.

Τίς ἂν δυνηθείη γε τῶν ἐφημέρων
ὕμνους ὑφάναι τοῖς ὁμεστίοις λόγῳ;
ἀνδρῶν ἠδὲ γυναικῶν ὄλβια φῦλα γεραίρω·
πάντες ὁμηγερέες τελέθουσ᾽ ἐρίηρες ἑταῖροι,
ἔνθα θεός γε πέλει, οὗ πέρι πολλ᾽ ἔκαμον.

106

Μηνὶ Ἰουνίῳ αη', εἰς τὸν ἅγιον Ἰουστῖνον τὸν φιλόσοφον.

Κανὼν ἄριστος ὢν δίκης Ἰουστῖνος,
κακῇ δίκῃ τέθνηκε· φεῦ τῆς ζημίας.
Ρίγησεν καὶ Ἰουστῖνος, κονίου προπεπωκώς.
Οὐδέ σ᾽ Ἰουστῖνε κάλλιπε δακρυόεις θάνατός γε
53v καίπερ ἐόντα σοφὸν καὶ πινυτῆς ὕπατον.

107

Μηνὶ τῷ αὐτῷ ηη', εἰς τὸν ἅγιον Θεόδωρον τὸν στρατηλάτην.

Στρατηλάτην Θεόδωρον θεοῦ φίλον
τίς οὐκ ἀρωγὸν εὗρεν ἐν περιστάσει;
Ὀγδοάτῃ Θεόδωρος ἀεικέα πήμαθ᾽ ὑπέστη·
τουτέων δ᾽ ἔμπης ἀγλαὰ δέξατο παρ βασιλῆος
δῶρα, ἄφαρ παρέχειν ἀσθενέεσσι χάριν.

108

Μηνὶ τῷ αὐτῷ ιβη', εἰς τὸν ὅσιον πατέρα ἡμῶν καὶ μέγαν Ὀνούφριον

Ὀνούφριος δ᾽ ὄνησιν πᾶσιν ἐκτίνει
ὅσοι θέλουσι σώας τὰς φρένας ἔχειν·
δωδεκάτῃ γε Ὀνούφριος εἴασε γαίῃ χηλόν·
γῆς μονίης οἰκιστὰ Ὀνούφριε, θαῦμ᾽ ἀσκητῶν,
τῆς κατεχούσης με νούσου ἀπάλλαξον.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*109*

*Μηνὶ τῷ αὐτῷ κδη', εἰς τὴν γέννησιν τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.*

*Τοὔνειδος ἐκπέφευγεν ἡ Ἐλισάβετ,*
*τεκοῦσα υἱὸν ἄξιον δισμυρίων.*
*εἰκάδι ἀμφὶ τετάρτῃ Πρόδρομον ἥλιος εἶδεν·*
*Ἰωάννης ἐκγεγαὼς ἀπελύσατο δεσμῶν,*
*δοὺς σφετέρῳ πατέρι ἣν ἔχεν εὐλαλίην.*

*Μηνὶ τῷ αὐτῷ κθη', εἰς τοὺς ἁγίους καὶ πρωτοκορυφαίους ἀποστόλους Πέτρον καὶ Παῦλον.*

*110*

54 *Εἰς τὸν ἅγιον Πέτρον*

*Ἐξουσίαν ἔδωκε Χριστὸς τῷ Πέτρῳ*
*λύειν ὅσ' ἂν βούλοιτο καὶ δεσμεῖν πράγη·*
*Ὄρχαμος ἀσπαλιήων κύμβαχος εἵλετο πότμον.*
*Ἀκροτάτη κορυφή, Πέτρε, μυστοπόλων Χριστοῖο,*
*ῥύεο σὸν κλῆρον ἐκ παλαμῶν ἀδίκων.*

*111*

*Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸν ἅγιον Παῦλον.*

*Παύλῳ τίς ἂν γένοιτο μείζων ἀξία*
*Χριστοῦ λέγεσθαι ἀξιωθῆναι στόμα;*
*εἰκάδι εἰνάτῃ αὐχένα Παύλου χαλκὸς ἔλεψεν*
*εἰς τρίτατον πόλον ἀρθεὶς Παῦλος ἐριγδούποιο*
*ῥήματ' ἄκουσ' ἄφατα. Θαῦμα μεγ' οἷον ὅσον.*

*112*

*Μηνὶ τῷ αὐτῷ λη', εἰς τοὺς ἁγίους ἐνδόξους καὶ πανευφήμους ἀποστόλους.*

*Ἀφεὶς ὁ σεπτὸς δῆμος τῶν ἁλιέων*
*θηρᾶν τὸ νηκτὸν τῆς Ἀμφιτρίτης γένος,*
*λόγοις σοφοῖς τε καὶ διδάγμασι ξένοις,*
*θεῷ συνιστᾷ ψυχὰς ἐσκοτισμένας.*
*δώδεκ' ἀμάλδυναν ὀτραλέως κακὰ δόγματ' ἀπίστων.*
*ὢ πόποι, ἦ μέγα ἔργον ῥέξαν δώδεκα φῶτες·*
*Ἑλλήνων σοφίην κάρτα κατηδάφισαν.*

*113*

*Μηνὶ Ἰουλλίῳ αη', εἰς τοὺς ἁγίους καὶ ἰαματικοὺς Ἀναργύρους, Κοσμᾶν καὶ Δαμιανόν.*

54v *Κοσμᾷ Δαμιανῷ τε τὼ ὁμωνύμω*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*τιμῶ, γεραίρω, προσκυνῶ, μεγαλύνω.*
*Κάτθανον ἄμφω λάεσι πρώτῃ Ἰουλίοιο.*
*Συζυγίην ἑτέρην ἀκεσώδυνον βροτοσῶον*
*λάμψασαν ἐκ Ῥώμης δόξασεν Οὐρανίων.*

*114*

*Μηνὶ τῷ αὐτῷ βιι', εἰς τὴν ἐσθῆτα τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

*Ἐσθῆτα σὴν ἔχουσιν οἱ Χριστοῦ φίλοι,*
*σκέπην κραταιάν, ἄφθεγκτον θυμηδίαν.*
*Δευτερίῃ Μαρίης γε φάρος κόμισαν πόλιν εἴσω·*
*ἄνδρε δύω τόδε ῥέξαν θέσφατον, ἄσπετον ἔργον,*
*Βαύδιος εὔζωνος, Κάνδυκος ἠγάθεος.*

*115*

*Μηνὶ τῷ αὐτῷ διι', εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἀνδρέαν, ἀρχιεπίσκοπον Κρήτης.*

*Πόνημα θεῖον, Ἀνδρέου κανὼν μέγας,*
*πῶς οὐκ ἐγείρει πάντας εἰς εὐφημίαν;*
*Ἀνδρέας ἀμφὶ τετάρτῃ ἡσύχιον λάβε πότμον·*
*Κρήτης ἀρχιερεὺς γένετ' Ἀνδρέας περίδοξος·*
*οὐκέτι δ' ἤλυθέ γε· πότμος προύλαβε γάρ.*

*116*

*Μηνὶ τῷ αὐτῷ ηιι', εἰς τὸν ἅγιον μεγαλομάρτυρα Προκόπιον.*

*Θείοις ἀγῶσι Προκόπιος ἐμπρέπων,*
*τὸν ἀντίπαλον προσκόπτοντα δεικνύει·*
*κόψαντ' ὀγδοάτῃ ἁπαλὴν δειρὴν Προκοπίου·*
*ἤχθη δ' ἐν βωμῷ ποτε ἔνθα πέλε βρέτα κωφὰ*
55 *κάββαλε πάντ' εὐχῇ· σὺν δὲ τ' ἔαξε γνύξ.*

*117*

*Μηνὶ τῷ αὐτῷ ιζιι', εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Μαρίναν.*

*Τύπον δίδωσι τοὔργον ἡμῖν Μαρίνας*
*ἀνδράσιν οὖσι μὴ φοβεῖσθαι τοὺς ὄφεις·*
*ἑβδομάτῃ δεκάτῃ Μαρίνη μεγαλῆτορ ἀπέπτης·*
*δυσμενέος Μαρίνη κορυφὴν κατέαξε σφύρα*
*χείρεσιν εὐπήκτοις, δόξαν ἀειραμένη.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*118*

*Μηνὶ τῷ αὐτῷ κη', εἰς τὸν μέγαν προφήτην Ἠλίαν.*

*Ταχυδρόμῳ ἄνεισι πυρίνῳ δίφρῳ*
*ὁ τὸν πόλον σχὼν Ἠλίας ὁ θεσβίτης.*
*Βῆ ῥ' ἴμεν Ἠλίας εἰκάδι ἐς πόλον ἀστερόεντα.*
*Οὐ θάνες Ἠλία, ὄρχαμε ἀγγελέων κλυτοφήμων·*
*αἰθέριος δ' ἐγένος προσμενέων τὸ τέλος·*
*τηλογέτην χήρας πάϊν Ἠλίας ἐξανέγειρε,*
*δῶκε δὲ μητέρι κεδνῇ χείρεσι πάλλειν ῥεῖα.*

*119*

*Μηνὶ τῷ αὐτῷ κβ', εἰς τὴν ἁγίαν Μαρίαν τὴν Μαγδαλινήν.*

*Μαγδαλινῇ δίδωσιν ἀντιμισθίαν*
*θεός, σὺν αὐτῷ συμπέλειν ἀϊδίως.*
*εἰκάδι δευτέρῃ ἤρθη μυροφόρων ὄχ' ἀρίστη·*
*Μαγδαλινή, Μαρίη τε παρὰ ποσσὶ κάππεσε Χριστοῦ.*
*Ἅδου ὅτ' ἐξανέδυ· «μὴ θίγε» δ' ἔκλυέ «μου».*

*120*

*Μηνὶ τῷ αὐτῷ κε', εἰς τὴν κοίμησιν τῆς ἁγίας Ἄννης, τῆς μητρὸς τῆς Θεοτόκου.*

55v *Τίς εὐτύχησεν εἰς παῖδας ὡς ἡ Ἄννα,*
*τρισόλβιον τεκοῦσα τὴν Θεοτόκον;*
*Εἰκάδι πέμπτῃ κάμμυσεν ὄμματε ὄλβιος Ἄννα·*
*δέξατο υἱωνὸς μέγα ἔξοχος οὐρανιώνων*
*πνεῦμα προμήτορος ὄν, ἀγλαόν, εὐθὲς ἄγαν.*

*121*

*Μηνὶ τῷ αὐτῷ κζ', εἰς τὸν ἅγιον μεγαλομάρτυρα καὶ ἰαματικὸν Παντελεήμονα.*

*Οὐ πρὶν κάραν ἴσχυσε σὴν τεμεῖν ξίφος*
*πρὶν αὐτὸς ἠθέλησας, δοῦλε Κυρίου.*
*Ἑβδόμῃ εἰκάδι ἀρηΐφατος πέλε Παντελεήμων.*
*Παντελεήμονι ὀτραλέῳ Χριστοῦ θεράποντι,*
*πίστιν ὅτ' οὐδένισεν, αἶνον ἄγω πατέρος.*
*καὶ νέον οὐλοκάρηνον ἐπὶ χθονὶ κείμενον ἄπνουν*
*δήγματι ἰοβόλῳ λευγαλέου ὄφεος,*
*τὸν κατιδὼν ἐλέαιρεν ἀγανὸς Παντελεήμων*
*θήκατό τε ζωόν, ῥεῖα μάλ' ὥς τε θεός.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

## 122

*Μηνὶ τῷ αὐτῷ λαϑ', εἰς τὸν ὅσιον πατέρα ἡμῶν Εὐδόκιμον.*

*Βιοὺς ὁ Εὐδόκιμος εὔδιον βίον,*
*δοκήσεως ἔτυχε προσδοκωμένης.*
*Εὐδόκιμος τριακοστῇ πρώτῃ κάμμυσεν ὄσσε·*
*πάμπολυ θάμβος ἔχει με καρηκομόωντ' Ἀχαιοί·*
*πῶς κὲν ἀειρόμενος νυκτιλόχοιο ὕπο,*
*Εὐδόκιμος ζάθεος, κλάδος ἀνδρῶν ἀσκητάων,*
*σακκόθεν εἶπε: «φίλε, σῶσον ἑόν γ' ἑτάρον».*

## 123

56 *Μηνὶ Αὐγούστῳ αϑ', εἰς τὸν ἅγιον Ἐλεάζαρον, καὶ Σολομώνην καὶ τῶν ἑπτὰ παίδων αὐτῶν.*

*Καῆναι ἠθέλησαν ἢ λῦσαι νόμον,*
*ἀνὴρ γυνή τε σὺν τέκνοις ἑπταρίθμοις·*
*ἐννέα πυρὶ θάνον μαλερῷ πρώτῃ Αὐγούστου·*
*πῦρ δὲ λιρὸν κατέκη Ἐλεάζαρ καὶ Σολομώνην,*
*ἄμφω πεπνυμένῳ, σὺν τεκέεσσι φίλοις.*

## 124

*Μηνὶ τῷ αὐτῷ στϑ', εἰς τὴν μεταμόρφωσιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.*

*Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην*
*λαβὼν ἔδειξε Χριστὸς ἄστεκτον σέλας*
*ἄπλετον ἐξ ὄρεος σέλας ἧκε θεὸς κατὰ ἕκτην·*
*οὔρεος ἐν κορυφῇ, τὸ Θαβὼρ καλέουσι, Ἰησοῦς*
6 *δεῖξεν ἑὴν δόξαν ἐλλογίμοις ἑτάρων*
*οἳ δ' ἔπεσον μεγάθυμοι ἐπὶ χθονὶ πουλυβοτείρῃ*
*θρηνεῖς κακκεφαλῆς, σφᾶς δ' ἕλε γυῖα τρόμος.*

## 125

*Μηνὶ τῷ αὐτῷ βϛ', εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνος Στεφάνου.*

*Ἰδὼν ἔτι ζῶν τὴν δόξαν τοῦ δεσπότου,*
56v *τρανώτερον, Στέφανε, νῦν ἐποπτεύεις·*
*δευτερίῃ νέκυος γένετ' ἀνκομιδὴ Στεφάνοιο·*
*χρυσοβόλου ἐξ ἠελίοιο φέρον στένοιο*
*τῇ τε πόληϊ δόμα καὶ βασιλῆϊ νέκυν.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

126

*Μηνὶ τῷ αὐτῷ θη΄, εἰς τὸν ἅγιον ἀπόστολον Ματθίαν.*

*Καλοῦ τίς ηὐμοίρησεν ὡς ὁ Ματθίας,*
*λαβὼν Ἰούδα τὴν ἐρίτιμον στάσιν;*
*εἰν δ' ἐνάτῃ θάνε Ματθίας ὀλβιοδαίμων σταυρῷ.*
*μνώεο, Ματθία, ἠδὲ καὶ ἡμέων σῇσι λιτῇσιν,*
*ὄφρα σε ὑμνέομεν μήποτε παυόμενοι.*

127

*Μηνὶ τῷ αὐτῷ ιεη΄, εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

*Τρισημέρευσε καὶ μήτηρ ἐν τῷ τάφῳ*
*ὅμοια παιδὸς τοῦ πάντων βασιλέως·*
*Πέμπτῃ καὶ δεκάτῃ Μαρί' ἐς πόλον αἰθέριος βῇ.*
*Ἄγγελοι αἰὲν ἐόντες ἐπεὶ ὕπατον κρειόντων*
*ψυχὴν μητρὸς ἑῆς ἀμφιέποντ' ἐσίδον,*
*θάμβησάν τ' ἀλάλαξαν, ἄειδον καίριον ᾆσμα:*
*«ὄλβιε χαῖρε παρθενικὴ Μαρίη».*

128

*Μηνὶ τῷ αὐτῷ ιστη΄, εἰς τὸν ἅγιον μάρτυρα Διομήδην.*

*Διομήδης ἀειθαλὲς φορῶν στέφος*
*ἄγει χορείαν μυστικὴν μετ' ἀγγέλων·*
*Ἕκτῃ καὶ δεκάτῃ Διομήδης ἔκπτατο ἔνθεν·*
**57** *Ἀγλαΐην Ἀσκληπιαδῶν, Διομήδεα, τίω,*
*ὅττι νυ καὶ θανέων τέκμορα πολλὰ κάμεν.*

129

*Τῇ αὐτῇ ἡμέρα, εἰς τὸ ἅγιον μανδύλιον ἐν ᾧ ἐσφραγίσατο ὁ δεσπότης Χριστὸς τὴν ἀχειροποίητον αὐτοῦ εἰκόνα.*

*Ἔδειξε Χριστὸς ἐν τῷ ἡμιτυμβίῳ*
*οἷα πέφυκεν ἡ χρῆσις τῶν εἰκόνων.*
*Πέμπτῃ καὶ δεκάτῃ ἐτυπώσατο μορφὴν Χριστός.*
*Χριστός τοι ἀπεμάξατο εἰκόνα ὄψιος εἷο.*
*δεικνὺς ζωγραφίην, χρῆμα ποθεινότατον.*

130

*Μηνὶ τῷ αὐτῷ καη΄, εἰς τὸν ἅγιον ἀπόστολον Θαδδαῖον.*

*Ὃν εἶπε Χριστὸς Αὐγάρῳ πέμψαι μύστην,*
*Θαδδαῖος ἐστὶν ὁ τρισευδαίμων ὅδε.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*Θαδδαῖον λάβεν ἡσύχιος μόρος εἰκάδι πρώτῃ·*
*Θαδδαῖος φρεσὶ πευκαλίμῃς περιήει πρόφρων*
*ἔθνεσι κηρύσσων ῥήματα θεσπέσια.*

*131*

*Μηνὶ τῷ αὐτῷ κεʹ, εἰς τὸν ἅγιον ἀπόστολον Τίτον.*

*Τιμῶσι Τῖτον τοῖς ἀποστόλοις ἴσως,*
*γένος τὸ πιστὸν ὥσπερ τρισαριστέα·*
*Λειμῶν' ἀσφοδελὸν Τῖτος ᾤχετο εἰκάδι πέμπτῃ.*
*Γόρτυνα τειχιόεσσα Τῖτον λάχεν ἀρχιερῆα*
*Παύλου παῖδα φίλον κάρτα γε μακρόβιον.*

*132*

*Μηνὶ τῷ αὐτῷ κθʹ, εἰς τὴν ἀποτομὴν τῆς τιμίας κεφαλῆς τοῦ τιμίου*
57v *ἐνδόξου | προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.*

*Οὐ χρὴ φόνον γίγνεσθαι τῇ τόθ' ἡμέρα,*
*ὅταν τελῆται μνήμη τῶν γενεθλίων·*
*τμήθη Ἰωάννης κράτα εἰκάδι, ἀμφ' ἐνάτῃ τε·*
*αἰσχρόν τοι ταμέμεν κεφαλὴν θεοεικέλου ἀνδρὸς*
*οὕνεκα μοιχαλίδος, ζαφλεγέος τε πόθου.*

*133*

*Μηνὶ τῷ αὐτῷ λαʹ, εἰς τὴν τιμίαν ζώνην τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

*Ζώνη πάναγνε τοὺς σοὺς ζῶσον οἰκέτας*
*καὶ κινδύνων ῥύου γε τοῦ βροτοκτόνου·*
*ἀσμενίσαντο πόλις τριακοστῇ πρώτῃ ζώνην·*
*σκηπτοόχου βασιλῆος νεύματι Ἀρκαδίοιο*
*ζώνην ἐξ Ἀσίης ἄνδρες ἄγον Μαρίης.*

## ΥΠΟΜΝΗΜΑ

1. Τὸ κύριον βοήθημα ἐπὶ τοῦ ὁποίου ἐβασίσθη ὁ Μιχαὴλ Ἀποστόλης διὰ τὴν συγγραφὴν τῶν Ἐπιγραμμάτων ἦσαν τὰ συναξάρια τοῦ μηνολογίου. Ἐλάχιστα εἶναι τὰ ἐπιγράμματα ἐκεῖνα τὰ ὁποῖα παρέχουν πληροφοριακὰ στοιχεῖα μὴ εὑρισκόμενα εἰς τὰ συναξάρια, ἐνίοτε δὲ ἡ μεταξὺ τῶν ἐπιγραμμάτων καὶ τῶν συναξαρίων σχέσις εἶναι στενωτάτη, ὅπως π.χ. προκειμένου

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

περὶ τοῦ ἁγίου Ἀμφιλοχίου [1], περὶ τοῦ προφήτου Ναοὺμ [2] καὶ περὶ τοῦ προφήτου Ἠσαΐου [3]. Διαφοραί, καθ' ὅσον ἠδυνήθην νὰ διαπιστώσω, εἶναι εἰς τὰς ἡμέρας ἑορτασμοῦ τοῦ Σιλβέστρου, πάπα Ρώμης [4], καὶ τῆς ἁγίας Βαρβάρας [5] εἰς τὰ ὀνόματα τῶν δύο ἀνδρῶν οἱ ὁποῖοι μετέφεραν τὴν ἐσθῆτα τῆς Θεοτόκου [6], εἰς τὸν ἑορτασμὸν τοῦ ἁγίου Θεοδώρου κατὰ τὴν 8ην Ἰουνίου [7], εἰς τὰ περὶ τῆς δράσεως τοῦ Ἀνδρέου ἐν Κρήτῃ [8], εἰς τὴν μνείαν τῆς ἱστορίας τοῦ υἱοῦ τῆς χήρας καὶ τοῦ προφήτου Ἠλία [9], ὡς καὶ εἰς τὰ περὶ τοῦ ἁγίου Εὐδοκίμου [10]. Αἱ διαφοραὶ ὅμως αὐταὶ δὲν ὑποδηλοῦν ὅτι ὁ Μιχαὴλ Ἀποστόλης ἐχρησιμοποίησε καὶ ἄλλας γραπτὰς πηγάς, πολὺ δὲ ὀλιγώτερον πηγὰς ἀγνώστους εἰς ἡμᾶς· αἱ διαφοραὶ εἰς τὰς ἡμερομηνίας ἑορτασμῶν τοῦ ἁγίου Σιλβέστρου καὶ τῆς ἁγίας Βαρβάρας προέρχονται προφανῶς ἀπὸ τοπικὰς συνηθείας εἰς Κρήτην, αἱ περὶ τῶν ὀνομάτων τῶν μεταφορέων τῆς ἐσθῆτος εἰς κακὴν παράδοσιν τοῦ κειμένου τοῦ συναξαρίου τὸ ὁποῖον ἐχρησιμοποίησεν ὁ Μιχαὴλ Ἀποστόλης, τὰ περὶ Ἁγίου Θεοδώρου εἰς λάθος τοῦ ἰδίου τοῦ Μιχαὴλ Ἀποστόλη, τὰ περὶ Ἀνδρέου εἰς ἔλλειψιν κάθε θετικῆς πληροφορίας περὶ τῆς δράσεως τοῦ ἀρχιεπισκόπου αὐτοῦ ἐν τῇ Κρήτῃ, τὸ δὲ περὶ τοῦ προφήτου Ἠλία καὶ τοῦ Ἁγίου Εὐδοκίμου εἶναι γνωστότατα. Ἀπὸ τὴν ἄποψιν συνεπῶς τοῦ περιεχομένου των τὰ ἐπιγράμματα τοῦ Μιχαὴλ Ἀποστόλη δὲν προσφέρουν τίποτε τὸ νέον. Ἄξιον σημειώ-

---

[1] Μιχ. Ἀποστ., Ἐπίγρ. 25: *«Τίπτε ἄναξ ἀλγεῖς παιδὸς ἀτιομένου»* ∽ Συν. Μην. [23η Νοεμβρ.] *«πῶς οὐ φέρεις σὺ τὴν τοῦ παιδὸς ἀτιμίαν, ἀλλὰ χαλεπαίνεις»*.

[2] Μιχ. Ἀποστ., Ἐπίγρ. 28: *«ὕδατι δ' ὃς γλυκερῷ μαλερῷ πυρὶ τ' εἶπε Νινευῒ θᾶσσον ἀπολύμεναι· ὃ καὶ γέγονεν»*· ∽ Συν. Μην. [1η Δεκεμβρ.] *«Νινευῒ τέρας ἔδωκεν ὅτι ἀπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ὑπογείου ἀπολεῖται, ὃ καὶ γέγονεν»*.

[3] Μιχ. Ἀποστ., Ἐπίγρ. 99: *«Μανασῆ ὕπο πρισθεὶς»* ∽ Συν. Μην. [9η Μαΐου] *«πρισθεὶς ὑπὸ Μανασῆ»*.

[4] Κατὰ Μιχαὴλ Ἀποστόλην, 2α Φεβρουαρίου, κατὰ τὸ συναξάριον 2α Ἰανουαρίου.

[5] Κατὰ Μιχαὴλ Ἀποστόλην, 1η Δεκεμβρίου, κατὰ τὸ συναξάριον, 4ην.

[6] *Βάνδιος* καὶ *Κάνδυκος*, κατὰ Μιχαὴλ Ἀποστόλην, Γάλβιος καὶ Κάνδιδος, κατὰ τὸ συναξάριον.

[7] Κατὰ Μιχαὴλ Ἀποστόλην, ἡμέρα μαρτυρίου· κατὰ τὸ συναξάριον, ἀνακομιδὴ τῶν λειψάνων.

[8] Μιχ. Ἀποστ., Ἐπίγρ. 115: *«οὐκέτι δ' ἤλυθέ γε· πότμος προὔλαβε γὰρ»* ∽ Συν. Μην. [4η Ἰουλ.] *«καλῶς οὖν καὶ θεαρέστως τὸ ἑαυτοῦ ποίμνιον ποιμάνας»*.

[9] Μιχ. Ἀποστ., Ἐπίγρ. 118: *«τηλυγέτην χήρας πάϊν Ἠλίας ἐξανέγειρε»*· ἡ ἱστορία αὐτὴ δὲν ἀναφέρεται εἰς τὸ Συν. Μην. [20ὴ Ἰουλ.], ἄλλως ὅμως ἦτο γνωστοτάτη [πρβλ. π.χ. τὸ ἐγκώμιον Βασιλείου Σελευκείας PG, 85, 148 - 157].

[10] Μιχ. Ἀποστ. Ἐπιγρ. 122 ∽ Loparev Chr., Zitie Sr. Evdokima, «Bizantiski Vremenik» 4, 1897, 355 - 358 (Ρωσιστί).

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

σεως ὅμως εἶναι ὅτι ὁ Μιχαὴλ Ἀποστόλης ἐγνώριζε τὸ ἐγκώμιον τοῦ Μεγάλου Βασιλείου εἰς τοὺς τεσσαράκοντα μάρτυρας[1].

2. Τὰ ἐπιγράμματα, ἐπὶ πλέον τῶν ειδικῶν θεμάτων, διὰ τὰ ὁποῖα καὶ ἐγράφησαν, ἐμπεριέχουν καὶ προσωπικὰ αἰσθήματα τοῦ συγγραφέως των: Εἰς Ἐπιγρ. 75 (*«εἰς τὴν ἀκάθιστον ἀγρυπνίαν»*) ὁ Μιχαὴλ Ἀποστόλης ἐνθυμεῖται τὴν πτῶσιν τῆς Κωνσταντινουπόλεως, μὲ γνήσιον δὲ χριστιανικὸν αἴσθημα, καὶ ἀκόλουθος κατὰ τοῦτο πρὸς τὰς ἑλληνικὰς λαϊκὰς παραδόσεις, τὴν πτῶσιν ταύτην τὴν ἀποδίδει εἰς τὰς ἁμαρτίας τῶν Βυζαντινῶν. Ἡ συμπάθειά του διὰ τοὺς Ἑνετοὺς ἐκδηλοῦται ῥητῶς εἰς τὸ Ἐπίγρ. 89 (*«Εἰς τὸ ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Μάρκον»*), ἐπίσης δέ, ἂν καὶ πολὺ ἐμμέσως καὶ μετὰ προσοχῆς, εἰς τὰ Ἐπιγραμ. 110 (*«Εἰς τὸν ἅγιον Πέτρον»*) καὶ 49 (*«εἰς τὴν ἅλυσιν τοῦ ἁγίου ἀποστόλου πρωτοκορυφαίου Πέτρου»*) ἡ συμπάθειά του διὰ τὴν καθολικὴν ἐκκλησίαν. Τὸ δεύτερον ἐκ τῶν δύο τελευταίων αὐτῶν ἐπιγραμμάτων ἐμπεριέχει καὶ τὴν πληροφορίαν, ὅτι ἡ κατοικία τοῦ συγγραφέως τῶν ἐπιγραμμάτων, ὅτε ἀκόμη εὑρίσκετο οὗτος εἰς τὴν Κωνσταντινούπολιν, ἦτο πλησίον τοῦ ναοῦ τοῦ Ἁγίου Πέτρου[2]. Ἀπὸ προσωπικὴν τέλος πεῖραν προέρχονται καὶ τὰ τρία ἐπιγράμματα 40 (*«Εἰς τοὺς ἁγίους μάρτυρας Δέκα, τοὺς ἐκ Κρήτης καὶ ἐν τῇ Κρήτῃ»*), 115 (*«εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἀνδρέαν, ἀρχιεπίσκοπον Κρήτης»*) καὶ 131 (*«εἰς τὸν ἅγιον ἀπόστολον Τίτον»*), τὰ ἀναφερόμενα εἰς ἁγίους λατρευμένους ἐν Κρήτῃ, καὶ δὴ ἐν τῇ περιοχῇ τῆς Γορτύνης, ὅπου ἐγκατεστάθη ὁ Μιχαὴλ Ἀποστόλης μετὰ τὴν πτῶσιν τῆς Κωνσταντινουπόλεως.

3. Τὸ γλωσσικὸν ὑλικὸν τὸ ὁποῖον ἐχρησιμοποίησεν ὁ Μιχαὴλ Ἀποστόλης διὰ τὴν συγγραφὴν τῶν ἐπιγραμμάτων εἶναι εἰλημμένον κυρίως ἐκ τοῦ Ὁμήρου: Αἱ Ὁμηρικαὶ ἐκφράσεις εἶναι πολυάριθμοι: *ὑγρὰ κέλευθα* 1, *ποταμοῖο ῥέεθρα* 2, *ἰσόθεος φώς, οἴνοπα πόντον* 7, *θαῦμα ἰδέσθαι* 11 *ἔγχεα δουλιχόεντα* 12, *πεῖραν ἀμφ᾽ ὀβελοῖς, χαλκὸς ἀτειρὴς* 15, *δεύετο δ᾽ αἵματι γῆ* καὶ *χαρκοβατὲς δῶ* 21, *διὰ σπίδεος* 22, *ἀνθρώπων πάτον, λειμῶν᾽ ἀνθεμόεντι* 33, *περικαλλέϊ νηῷ, ἄλγεα θῆκεν* 49, *ἐρίηρας ἑταίρους* 56, *ἀγλαὰ δῶρα* 58, *ἤπια φάρμακα* 59, *κύδεϊ γαίων* 63, *φίλον υἷα* 64, *ἐξαλάπαξε τεῖχος* 80, *εἰν Ἀΐδαο δόμοισι* 82, *Ἀΐδαο πυλάρτου* 83, *κατὰ δάκρυ χέουσα* 85, *πάντες ὁμηγερέες* 105, *οὐλοκάρηνον, ἀγανός, ῥεῖα μάλ᾽ ὥς τε*

[1] Μιχ. Ἀποστ., Ἐπίγρ. 69 ∽ *«εἴπερ ὑμέων μνείης οὐκ ἔσχε κόρον Βασίλειος»* ∽ PG, 31, 507 - 526.

[2] Πρόκειται προφανῶς περὶ τοῦ ναοῦ τοῦ Ἁγίου Πέτρου πλησίον τῆς μονῆς τοῦ Ὁρμίσδου, ὅστις παρεχωρεῖτο ἔκπαλαι εἰς τοὺς ἐκ Ῥώμης ἐρχομένους πρὸς τέλεσιν ἱεροπραξιῶν λατινιστί.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

*θεὸς* 121, *σὺν τεκέεσσι φίλοις* 123, *σφᾶς δ' ἕλε γυῖα τρόμος* 124, *ὕπατον κρειόντων* 127, *φρεσὶ πευκαλίμῃς* 130, *λειμῶν' ἀσφοδελόν, Γόρτυνα τειχιόεσσα* 131. Ἐπίσης πολυάριθμοι εἶναι ἀνεξαρτήτως τῶν ἐκφράσεων αὐτῶν, καὶ αἱ λέξεις αἱ Ὁμηρικαί: *ῥεῖα, ὄρχαμος* 2, *μόρον* 5, *αἶψα* 12, *ἕρκος* 13, *μετεκίαθε, μεγαλῆτορ* 14, *δαΐφρων* 15, *οὐτάσθη, δεξιτερὴν* 17, *ὄμβριμος, φάσγανα, ῥίμφα* 18, *ἀπειρεσίοις* 19, *κύμβαχον, νωλεμέως* 22, *ἐρέθει* 26, *κορηκομόωντες, ἠνορέης, ὄζον* 27, *ὀμφῆς, ὄσσε* 28, *τηλυγέτιν* 29, *ἔμπης, ἀλιτροῦ* 30, *ἀμβρόσιον, ἄφθιτον κῆρ* 32, *βροτολοιγὸν* 33, *μέροπες* 34, *ἀγακλειτοῖο, δίοιο* 35, *θεοειδὲς* 37, *ἀτίταλλε* 41, *λάεσι* 42, *ἤματι* 44, *κυδιανείρης* 54, *ἐτήτυμον* 60, *ζάθεος* 61, *λώϊον* 63, *λίσομαι, ἐλέαιρε, γουνέομαι* 65, *μήλων, ῥέζων* 66, *ὑστάτιον* 68, *ἐμμαπέως* 70, *εἱαμενῇ, ἀμβάσιας* 71, *ἀριπρεπέα* 73, *ἄντα* 74, *ἐγγιάλιξον, ῥαθάμιγγας* 78, *δίζω, βένθεα, εὐρυαγείης, ἐδνοπάλιξε, ἐστυφέλιξε, δνοφεροῖο, ἄρμενος* 82, *καρπαλίμως* 84, *ἀτρεκέως* 87, *ἐριβώλακα* 88, *ἠπεροπευτάων* 90, *ἐρικυδέεσι* 91, *γυῖα* 92, *ὀπάσας* 94, *κτέατα* 95, *λοίγιον* 96, *ἠπεδανοὺς* 98, *ἠΰτε* 101, *πινυτῆς* 106, *ἐριγδούποιο* 110, *ἀμάλδυναν, ἀειραμένοις, εὐπήκτοις* 117, *πάϊν, κεδνῇ* 118, *ἔκλυεν* 119, *υἱωνὸς* 120, *ἀρηΐφατος, λευγαλέου, οὐλοκάρηνον, ἀγαυὸς* 121, *ὀλβιοδαίμων* 126, *τίω* 128, *ζαφλεγέος* 132. Πολυάριθμοι ἐπίσης εἶναι οἱ ἐπικοὶ καὶ γενικώτερον οἱ ποιητικοὶ καὶ Ἰωνικοὶ γραμματικοὶ τύποι, εἰς ὀνόματα, ὅπως π.χ. *βίοιο* 1, *ποταμοῖο* 2, *βασιλῆς* 25, *οὔρεος, παλάμῃσι* 29, *Ἀρείοιο,* 32, *θεοῖο* 34, *ἀνέρας* 40, εἰς ῥήματα, ὅπως π.χ. *ἀμπαύθη* 1, *κάλλιπε* 5, *φλέγε* 9, *σκυτμήθη* 10, *πεῖραν* 15, *βῆ* 21, *ἔοργε* 23, *οἰσέμεν* 25, *αἰνέομεν* 34, *δείχνυσο* 41, εἰς ἀντωνυμίας, ὅπως π.χ. *ἐμεῖο, σεῖο, τεοῖο.*

Παραλλήλως ὅμως πρὸς τὴν ἄφθονον χρῆσιν τοῦ ποιητικοῦ λόγου τοῦ Ὁμήρου, ὁ Μιχαὴλ Ἀποστόλης συμπεριέλαβεν καὶ πολλὰς μεταγενεστέρας λέξεις, ἐνίοτε σπανιωτάτας, τὰς ὁποίας θὰ ἠλίευσε βεβαίως, μετ' ἐπιμελείας ἀπὸ λεξικά: *ἀδρανέεσσι* 26, *αἰβαλέης* 83, *ἀκεσώδυνον* 113, *ἀκτεάτοιο* 60, *ἀλισγημοῦ* 61, *ἀμάλαις* 58, *ἀμετάκλιτον* 75, *ἀνέσπερον* 29, *ἀσπαλιήων* 110, *δυσθανέως* 51, *ἐμφανίῃ* 45, *ἔραν* 50, *εὐλαλίην* 109, *θεοπτίας* 101, *θυμηδίαν* 114, *θύται* 24, *λέκυθον* 9, *ἱμωνιὰν* 93, *ἰσόσταθμον* 51, *κλεόπαιδα* 34, *κλητοφήμων* 118, *λέκτορα* 38, *λιρὸν* 23,123, *λεωφθόρον* 52, *μεγακλέος* 55, *μυρσσώον* 31, *μύστιδα* 39, *νυκτιλόχον* 83, *οὐδένισεν* 121, *ὀψώνιον* 88, *περίδοξος* 115, *περιπύστου* 36, *πρώτατος* 42, *στερνισαμένη* 69, *ταμιοῦχος* 76, *ὕδειν* 39, *χειραπτῆρα* 46, *χρυσοδίνοιο* 45, *χρυσάντιγα* 74, *ψυχωφελῆ* 31—πλὴν βεβαίως τῶν καθαρῶς χριστιανικῶν λέξεων, ὅπως *ἀσωμάτων* 2, *θεομήτορα* 3, *βάπτισε* 8, *ἄϋλον [φύσιν]* 20, *παμμακάριστον* 24, *στέφος μαρτυρίου* 26, *ἀπείρανδρον* 34, *ἀσκητὴν* 38, *νεκρῶν ἔγερσιν* 39, *τάξις μαρτύρων* 48, *ταπείνωσιν* 63, *μετανοίης, μεταμέλεια* 68, *χάρις* 77, *ἐλεημοσύνην* 84, *εὐαγγελιστὰ* 89, *μυροφόροις* 91, *παράκλητον* 104, αἱ ὁποῖαι ἀποτελοῦν ἰδιαιτέραν ἑνότητα. Ἡ τελευταία αὕτη ὁμὰς τῶν χριστιανικῶν

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

λέξεων ἔρχεται εἰς προφανῆ ἀντίθεσιν μὲ τοὺς ὅρους καὶ τὰς ἐκφράσεις αἱ ὁποῖαι φαινομενικῶς τοὐλάχιστον οὐδεμίαν σχέσιν ἔχουν μὲ τὸν χριστιανισμόν: Ὁ Ἰησοῦς μετὰ τὴν Ἀνάστασιν «*Οὔλυμπόνδε βεβήκει*» 83 καὶ μετὰ τὴν Ἀνάληψιν «*ᾤχετο Οὔλυμπόνδε*» 103, Διονύσιος ὁ Ἀρεοπαγίτης εἶναι «*Οὐλύμπιο θεωρὸς*» 11, ὁ ἅγιος Πατάπιος μετὰ θάνατον «*πατεῖ τὸ Ἠλύσιον*» 33, ὁ Ἅγιος Θύρσος «*θύρσου κατεφρόνησε τοῦ Διονύσου*» καὶ μετὰ θάνατον «*ἀπέπτη θυμὸς εἰς μακάρων νήσους*» 35, ὁ Τῖτος μετέβη εἰς «*λειμῶν' ἀσφοδελὸν*» 131, ὁ ἅγιος Γεώργιος εἶναι «*ἥρως*» 88, ὁ Ἰησοῦς «*εὐρυκρείων*» 94 καὶ «*Ὀλύμπιος*» 66. Προφανῶς ὅμως αἱ φράσεις αὐταὶ εἰς τὴν γραφίδα ἑνὸς ἀρίστου ἀντιγραφέως κλασσικῶν κειμένων, συλλέκτου ἀρχαίων παροιμιῶν καὶ ἐνθουσιώδους ἐραστοῦ τῆς κλασσικῆς παιδείας, ὄχι δὲ διὰ τοῦτο ὀλιγώτερον πιστοῦ χριστιανοῦ, εἶναι φράσεις ἁπλῶς διακοσμητικαί· ἡ κλασσικὴ ἄλλως παιδεία τοῦ Μιχαὴλ Ἀποστόλη δὲν χάνεται εὐκαιρία νὰ μὴ παρουσιασθῇ: Ὁ ἅγιος Διομήδης εἶναι «*ἀγλαΐη Ἀσκληπιαδῶν*» 128, οἱ Ἅγιοι Ἀνάργυροι εἶναι καὶ αὐτοὶ «*Ἀσκληπιάδαι*» 19, ὁ Ἰωσὴφ ἐφάνη «*ἄλλος Βελλεροφόντης*» 85, οἱ Ἀπόστολοι πρὸ τῆς μαθητείας των εἰς τὸν Ἰησοῦν Χριστὸν ἐπεδίδοντο «*θηρᾶν τὸ νηκτὸν τῆς Ἀμφιτρίτης γένος*» 112, ὁ ἅγιος Νικόλαος «*ἤρθη ἕκτη ἐλαφηβολιῶνος*» 31, «*ἕκτη Μουνιχιῶνος*» 45 δὲ εἶναι τὰ Θεοφάνεια.

4. Ἐκ τοῦ πλουσίου αὐτοῦ γλωσσικοῦ ὑλικοῦ ἰδιαιτέρας, νομίζω, μνείας δέον νὰ τύχωσιν αἱ ἀκόλουθοι χρήσεις: «*καὶ ῥὰ διὰ σπίδεος πεδίοιο Φίλιππος σκιρτᾷ*» ꝏ Ἰλιὰς XI,754 «*τόφρα γὰρ οὖν ἑπόμεσθα διὰ σπιδέος πεδίοιο*». Εἰς τὸ πολλάκις συζητηθὲν αὐτὸ χωρίον (πρβλ. λεξικὰ *Ebeling* καὶ *Liddel-Scott-Jones)* ἡ ἑρμηνεία τὴν ὁποίαν παρέχει διὰ τῆς χρήσεως τῆς ἅπαξ ἀπαντώσης ἐκφράσεως «*διὰ σπίδεος πεδίοιο*» ὁ Μιχαὴλ Ἀποστόλης εἶναι «διὰ τραχέος τόπου» ἐννοῶν οὕτω τὴν πλατεῖαν τῆς Ἱεραπόλεως ἐπὶ τῆς ὁποίας ἐσύρθη πρὸ τῆς θανατώσεώς του ὁ Φίλιππος.—Σημειωτέος ὁ τονισμὸς «*διὰ σπίδεος*» τοῦ Μιχαὴλ Ἀποστόλη εἰς θέσιν τοῦ ὁμηρικοῦ «*διὰ σπιδέος*».— «*Τηλυγέτιν*» 29, «*τηλύγετος - τηλυγέτη*» εἰς Ὅμηρον.— «*Οὐλοκάρηνος χριστοῖο*» 86, εἰς θέσιν τοῦ ὁμηρικοῦ «*ὁ οὐλοκάρηνος*». Πρβλ. ««*ψευδοκάρην*» εἰς *Kretschmer P., Locker E.*, Rückläufiges Wörterbuch der griechischen Sprache, 1944,140. Σημειωτέος τέλος καὶ ὁ ἐκχριστιανισμὸς τοῦ «*βένθεα ἁλὸς*» διὰ τοῦ «*βένθεα χθονὸς*» 72. Καὶ ταῦτα μὲν διὰ τὸ ἐξ Ὁμήρου ληφθὲν ὑλικόν. Περισσότερον ἐνδιαφέρον ἔχουν τὰ μεταγενέστερα γλωσσικὰ στοιχεῖα: «*Αἰβαλέη*» 83, [=θύρα], ἀντὶ τοῦ τύπου *αἰβάνη* (Ἡσύχιος) καὶ *αἰβάλη* (Σουΐδας)· *(αἰβαλέη* εἰς κώδ. Κυρίλλου, κατὰ τό λεξικὸν Stephanus). «*Ἀκτέατος*» 60, ἀντὶ τοῦ, μεταγενεστέρου καὶ αὐτοῦ, *ἀκτέανος* (πρβλ. ἐπίγρ. 95, «*πάντα λιπὼν κτέατα*». Προφανῶς ἐκ τῆς δοτικῆς *κτέατεσσιν*).— «*Ἀλισγημὸς*» 61: *ἀλίσγημα* εἰς

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

πράξεις Ἀποστ. 15 - 20 *(ἀπέχεσθαι τῶν ἀλισγημάτων τῶν εἰδώλων)* καὶ ρῆμα *ἀλισγεῖν (ἀλισγήσει, ἠλισγημένους, ἠλισγήσαμεν, ἀλισγηθῇ)* εἰς Ο' (πρβλ. *Hatch* and *Redpath*, Concordance to the Septuagint I, 1897, 54).— «*Ἀμάλη*» 58 : Ἀθήναιος 618d : «*τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ' ἑαυτὰ προσηγόρευον ἀμάλας*».— «*Λέκυθος*» 9 : Τὰ λεξικὰ ἀναφέρουν «*λέκιθος*» οὔτε ἡ σημασία ὅμως, οὔτε ἡ ὀρθογραφία συμπίπτουν μὲ τὴν λέξιν τοῦ Μιχαὴλ Ἀποστόλη.—«*Ἱμωνιὰ*» ἡ ὀρθὴ γραφὴ εἶναι «*ἱμονιά*».— «*Κλεόπαις*» 34 : λέξις ἀθησαύριστος ;.— «*Λιρὸς*» 23,123 : Πρβλ. Καλλίμαχος frg. 14 Pfeiffer, τὸ «λιρὸν πῦρ» τοῦ Μιχαὴλ Ἀποστόλη εἶναι «ἀναιδές, ἀναίσχυντον».— «*Λεωφθόρος*» 52 : ὁ χαμένος, ὁ ἄθλιος, κατὰ τὰ ἀντίστοιχα *λεώλεθρος, λεώλης* εἰς Ἡσύχιον· λέξις ἀθησαύριστος.— «*Μυροσῶος*» 31 : λέξις ἀθησαύριστος *Buck c., Petersen W.*, A reverse index of greek nouns and adjectives, 1945, 182.—«*Χρυσάντιξ*» 14 : Μανασσῆ, Συν. Χρον. 5055 (Migne PG, 127,409) «*αὐτὸς αὐτὸν ἐπέβαινεν ἁρμάτων χρυσαντύγων*».

5. Εἰς τὴν εἰσαγωγὴν τῶν ἐπιγραμμάτων του ὁ Μιχαὴλ Ἀποστόλης περιγράφει ὁ ἴδιος τὴν μετρικὴν μορφὴν τὴν ὁποίαν ἠκολούθησε : «*ξυντιθεῖσι μὲν στίχω δύο ἰαμβικὼ καὶ ἕνα μετὰ τούτω ἡρωϊκὸν εἶτ' αὖθις ἡρωοελεγεῖον ἄλλον προστιθεῖσι ἀφ' ἑαυτῶν*». Τὸ σύστημα ὅμως αὐτὸ δὲν τὸ ἠκολούθησε πάντοτε καὶ διὰ τοῦτο ἐφρόντισεν εἰς τὰς ἐπιγραφὰς ἢ εἰς ἐπὶ τῆς ὤας σημειώματα νὰ καθοδηγῇ τὸν ἀναγνώστην : Πρβλ. 21, στ. 5 κἑ. ὅπου σημειώνει ὁ ἴδιος «*ἡρωϊκοί*».—Ἐπίγρ. 82 «*εἰς τὸ αὐτὸ ἡρωϊκοί*», 83 «*εἰς τὸ αὐτὸ ἡρωοελεγεῖοι*». Ἐπειδὴ δὲ οἱ περιορισμοὶ τοῦ μέτρου δὲν τοῦ ἐπιτρέπουν πάντοτε νὰ ἐκφρασθῇ σαφῶς ἢ ἐπειδὴ ἡ τελικὴ μορφὴ ἐνίοτε δὲν ἦτο ἱκανοποιητική, συμπληροῖ ἢ διορθοῖ τὴν ἀτελῆ διατύπωσιν διὰ περιθωριακῶν σημειωμάτων, εἰς τινας δὲ περιπτώσεις ἀποκαθιστᾷ οὕτω καὶ γραφικὰ ἀβλεπτήματα : 40,3 (μεταξὺ τῶν λέξεων *μέλανος πέραθ'* καὶ ὑπεράνω αὐτῶν) : *ἤγ(ουν) εἰς* [ἡ σύνταξις : *οὐ μέλει μοι σεῖο*].— 58,3 (ὑπεράνω τοῦ *ἑαδὼς*) *χαίρων*.— 68,3 (ἔπειτα ἀπὸ τὸ *σώσει*) : *ἤγ)ουν ἑαυτὸν* (ἡ σύνταξις : *οὔτις δρῶν παρακαίρια σώσει ἑαυτὸν ἄνευ μετανοίης)*—84,5 *συνεπηγομένας* καὶ α ὑπεράνω τοῦ κ.—91,5 *Σωσάνη* καὶ α ὑπεράνω τοῦ *κ*.— 94,2 Διὰ τῆς τοποθετήσεως τῶν γραμμάτων β,α,γ ὑπεράνω τῶν τριῶν πρώτων λέξεων προτείνεται ἡ ἀκόλουθος σειρά : *ἐξωμάτωσεν τυφλὸν ὕδει*.—100,1 ὁμοίως : *Ἐπιφάνιος μακρὸν βιώσας βίον*. — 101,1 (ἐπιγραφὴ) *βασιλεῖ καί*.— 121,3 ὁμοίως *Ἑβδόμη εἰκάδι ἀρηΐφατος πέλε Παντελεήμων*.

6. Ὑπολείπονται ὀλίγαι λέξεις διὰ τὴν γραμματολογικὴν σημασίαν τῶν ἐπιγραμμάτων αὐτῶν. Τὰ βυζαντινὰ ἐπιγράμματα ἐλάχιστα ἔχουν μελετηθῆ μέχρι τοῦδε, ἐν ἀντιθέσει πρὸς τὰ ἀντίστοιχα τῆς κλασσικῆς ἑλληνικῆς καὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123

τῆς ἑλληνιστικῆς ἐποχῆς. Καὶ ἀνέκδοτα εἰσέτι ὑπάρχουν καὶ πολλῶν ἐκ τῶν ἐκδεδομένων χρειάζονται νέαι ἐκδόσεις ἐπὶ τῇ βάσει συστηματικῆς μελέτης τῆς χειρογράφου παραδόσεως. Τὸ δὲ κύριον ἔργον εἶναι ἡ μελέτη τῶν θεμάτων, τῆς μετρικῆς μορφῆς, τῆς γλώσσης, τῶν ἐπιδράσεων. Τὰ ἐπιγράμματα τοῦ Μιχαὴλ Ἀποστόλη εἶναι δι' ἑορτὰς καὶ ἁγίους τῆς ὀρθοδόξου ἑλληνικῆς ἐκκλησίας εἰς γλῶσσαν ἀρχαίαν ἑλληνικὴν μὲ λέξεις εἰλημμένας ἐκ τοῦ Ὁμήρου μέχρι καὶ τοῦ Μανασσῆ. Εἶναι μία ἰδιαιτέρου ἐνδιαφέροντος περίπτωσις, ὅσον καὶ ἂν ὄχι μοναδική.

ΒΑΣΙΛΕΙΟΣ ΛΑΟΥΡΔΑΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 09:37:37 EEST - 3.18.213.123